ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

ARCHIVIO STORICO

PER

LA CALABRIA E LA LUCANIA

DIRETTORE: UMBERTO ZANOTTI-BIANCO

ANNO XXIX (1960) FASC. III-IV

COLLEZIONE MERIDIONALE EDITRICE
AMM.: MONTE GIORDANO, 36 - PALAZZO TAVERNA - ROMA
SPEDIZIONE IN ABBONAMENTO POSTALE

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

ARCHIVIO STORICO PER LA CALABRIA E LA LUCANIA

DIREZIONE E AMMINISTRAZIONE
ROMA - Via di Monte Giordano, 36 (Palazzo Taverna)

PREZZI D'ABBONAMENTO
Per un anno: Interno L. 3000; Estero L. 3500
Fascicolo separato: Lire 1000. — Fascicolo doppio: Lire 2000.

DIRETTORE: **Umberto Zanotti-Bianco**
CONDIRETTORE: **G. Isnardi**

COMITATO DI REDAZIONE:
G. AMBROSIO — U. BOSCO — R. CIASCA — L. DONATO
V. G. GALATI — S. G. MERCATI — G. SCHIRÒ

SOMMARIO DEL FASCICOLO III-IV 1960

JOANNOU P. — *La personalità storica di Luca di Bova attraverso i suoi scritti inediti* (con testo greco e con traduzione a cura di Margherita Isnardi), pag. 175.

CIMINO G. — *Dalla « Memoria della gran penuria del 1764, nell'Italia Meridionale e in particolare nella Università della città di Scigliano (Cosenza) »*, con introduzione, commento e note, pag. 239.

D'ALESSANDRO A. — *La vita amministrativa in Basilicata nei secoli XVI e XVII*, pag. 265.

VARIE

RUSCIANI F. — *Ancora di Diego Sandoval*, pag. 287.

NARDI C. — *Per un chiarimento a proposito della lettera anonima d'accusa a P. Elia D'Amato*, pag. 289.

Un doveroso « Errata-Corrige », pag. 294.

RASSEGNE E RECENSIONI

PARISI A. F. — *Recenti pubblicazioni di storia normanna*, pag. 295.

LEPORE E. a A. DE FRANCISCIS e O. PARLANGELI. — *Gli Italici del Bruzio nei documenti epigrafici*, Univ. di Napoli, Centro di Studi per la Magna Grecia, Napoli 1960, pag. 303.

ISNARDI G. a A. F. PARISI. — *Maida*, pag. 311.

NOTIZIARIO

Atti della Deputazione di Storia Patria per la Calabria - p. 315.

Preghiamo vivamente tutti gli abbonati che non l'avessero ancor fatto, di voler provvedere al pagamento del loro abbonamento inviandocene l'importo a mezzo di cartolina-vaglia o con versamento sul conto corrente postale 1/8271 intestato alla Associazione Nazionale Interessi Mezzogiorno, Via di Montegiordano, 36 - Roma

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

LA PERSONALITÀ STORICA DI LUCA DI BOVA ATTRAVERSO I SUOI SCRITTI INEDITI

Cyro Giannelli : In memoriam

Alle conclusioni scientificamente irrefragabili, formulate dal collega e caro amico G. Schirò, dell'università di Roma, in questo periodico sull'esistenza di Luca di Bova alla fine del XI secolo, son lieto di portare la conferma ormai indiscutibile colla pubblicazione degli inediti testi dello stesso Luca di Bova [1].

Il *sintomo* che fu argomento della discussione è appunto una pennellata da maestro che dipinge l'attività esposta nei miei testi [2]. Predicatore infaticabile, Luca percorse, evangelizzando per 45 anni, tutta la Calabria e la Sicilia. « Tuono di teologia » contro gli errori d'origine musulmana o pagana delle popolazioni greche ; « tromba di pietà » fu egli, esortando alla confessione dei peccati e alla degna recezione dell'eucaristia ; « organo dello Spirito Santo », le cui parole risuonano attraverso le abbondanti citazioni della Scrittura sacra. Luca, del titolo di Bova, fu vescovo per i Greci di tutto l'Aspromonte, da Bova fino a Reggio e fino a Nicotera nel Nord, durante il difficile periodo della conquista normanna. Egli fu con ragione onorato dalle popolazioni riconoscenti come un santo patrono, che li poteva « liberare da ogni necessità » [3].

[1] G. Schirò, *S. Luca di Bova, problema insoluto*, « Archiv. stor. per la Calabria e Lucania », XVIII (1949), 151.

[2] G. Schirò, *Quattro inni di Santi Calabresi*, « Archivio stor. per la Calabria e Lucania », XV (1946), 26.

[3] Ibid., 3 *Strophe*.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

Il testo.

Il Codice Parisino, supplem. graec. 407, cartaceo, di 228 fol., copiato nell'anno 1592 da J. Sirmond, contiene dal fol. 158 al fol. 176, intercalate fra le omelie di Sisinnio patriarca Costantinopolitano e di Eusebio d'Alessandria, tre lettere pastorali, un discorso e il testamento spirituale di « Luca, vescovo di Bova e amministratore della grande sede metropolitana di Reggio » (Titolo del primo scritto, fol. 158r).

La prima lettera (ὑπόμνησις, fol. 158r-161v) sulla confessione pasquale che si debba fare all'inizio della quaresima, nella prima settimana, è seguita (fol. 161v-164v) da un postscriptum che contiene un officio di preparazione alla confessione con una lunga preghiera, il tutto composto da Luca stesso. La seconda lettera (fol. 164v-167r) tratta del modo di contenersi nella chiesa ed è diretta contro certi abusi. La terza (fol. 167r-168v) esorta alla pietà nel ricevere la sacra comunione.

Il discorso (fol. 168v-171r) biasima alcune pratiche « musulmane et pagane » durante le esequie.

Il testamento spirituale (fol. 171r-175v) è una esortazione paterna alla fine di 45 anni di episcopato e contiene molti elementi biografici; s'interrompe abruptamente alla terza linea del fol. 175v; sembra però che manchi solo la formula finale.

La lingua.

Il testo nostro è una copia riveduta con attenzione dal copiatore stesso, come risulta dal suo sottolineare le sillabe o le parole che gli sembravano dubbie, p. es. fol. 171v: ἐνδιαθήκος; εὔξασθαι... συγωρεῖται; dalla correzione *in textu*: ἀνθεὶς ὁ χόρτος fol. 171v; dalle addizioni marginali fatte di propria mano: fol. 167v Ἐκ δὲ τοῦ ἁγ. ἀνθρ. e fol. 173v οὐαὶ τοῖς ἁ. τ. ν. κοιν. αὐτ.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

Perciò, la copia del testo essendo fedele, le particolarità che vi s'incontrano debbono risalire al testo copiato. Il lettore ne troverà molte, che si possono distinguere in due categorie: *sintattiche*, come p. es. ἀνθεστηκότες τῶν ἱερέων fol. 159r; δείξατε ... τοῦ λαοῦ 159v; ἡμάρτομεν ἐν peccammo contro 162v; la costruzione col verbo σκοπεῖτε 160r, 166r e altrove; σὺν τοῦ νοὸς καὶ τοῖς ὀφθαλμοῖς 166r; gli anacoluti: κειμένους καὶ σεσηπότων 164r, λέγει ἡμῶν ... καταφρονοῦντες καὶ κατασπιλωθεῖσι καὶ ἱστάμενοι 167r; *particolarità di vocaboli* come ἀγνώστου λαοῦ, ignaro popolo 158v; δέδομαι, mi fu dato 171r; Γρήκων, dei greci 172v; ἀπὸ καιροῦ εἰς καιρούς 166r; κυρίαν ἡμῶν, Nostra Signora 162r; σεβάσμιον αἷμα venerando Sangue (di Cristo) 162r; λατρείαις acolutie 166r; ὁ ἀρχιερεὺς κύριος καὶ δεσπότης, Sommo pontefice, signore e re (Cristo) 158v; δέσποτα αὐτοκράτορ nel luogo di παντοκράτορ 162r.

L'origine latina di queste ultime espressioni e di altre che si potrebbero aggiungere, i numerosi solecismi, le citazioni della S. Scrittura che non corrispondono al testo originale, fanno pensare che l'autore sia stato d'origine o almeno di formazione latina.

L'autore, Luca vescovo di Bova.

Luca s'intitola (fol. 158r) « vescovo di Bova, amministratore (διακονητής, cfr. *diaconus* ministro) della grande metropoli di Reggio »; però nel suo testamento (172v) egli ringrazia, oltre i grandi e i provveditori (μεγιστάνοις καὶ ἀγαθηταῖς) dei castri (di Bova e di Reggio), anche quelli di Nicotera, di Santo Niceta e tutti i Calabresi; inoltre, egli ha esercitato il ministero della predicazione nella Calabria e nella Sicilia. Possiamo adunque pensare che Luca avesse la giurisdizione su tutti i greci dell'Aspromonte fino ai confini del vescovado greco di Rossano, il quale, soppresso momenta-

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

neamente dal duca Ruggero Borsa nel 1093, fu ricostituito da Roberto Guiscardo dopo la rivolta della città [1].

Dubitare sul nome e le qualità di Luca vescovo di Bova, chiaramente attestati dal codice nostro, come da quello del *sintomon* non è possibile [2]. Che si tratti in ambedue i casi del primo Luca, quello dell'anno 1094, non di quello dell'anno 1305, apporterei come prove: 1) la menzione che si fa dei usi musulmani e pagani ancora esistenti (172r); il fatto dei frequenti viaggi apostolici di Luca in Sicilia (172r), il che esclude uno stato politico e religioso come quello del XIV secolo; 2) la riconoscenza espressa per due volte ai grandi e ai provveditori (172v e 174r) dei castri, la quale fa supporre che l'occupazione militare fosse ancora recente ed assumesse l'amministrazione civile della Calabria, la cui occupazione da parte dei Normanni accadde negli anni 1057-1060; 3) i nomi di Ράῳ e Ροκέρῃ (172v) cioè di Raoul [3] e di Ruggero [4], persona cui Luca « deve dopo la grazia di Dio » la sua elevazione all'episcopato, designano personalità conosciute da tutti, dalle quali dipendeva la nomina di vescovi; tali, credo che siano stati Rodolfo, arcivescovo di Cosenza attestato all'anno 1091 e Ruggero, fratello di Roberto Guiscardo [5].

Infatti dopo la sua rivolta contro Roberto e la separazione del regno in due, Ruggero mostrò nelle sue possessioni in Sicilia e in Calabria una politica di tolleranza non solo

[1] Cfr. L. MÈNAGER, *La « byzantinisation » religieuse de l'Italie méridionale et la politique monastique des Normands d'Italie*, « Rev. d'Hist. Ecclés. », 54, (1959), 28.

[2] Vedi G. SCHIRÒ, *l. c.*; W. HOLTZMANN, *Päpstliche, Kaiser - a. Normannenurkunden aus Unteritalien*, « Quell. u. Forsch. aus Ital. Arch. u. Bibl. ». XXVI (1956), 29.

[3] Rodolfo, Radulfus, Raoux, Roux; si pensi all'omonimo duca di Borgogna e re di Francia nel 923.

[4] Il qualificativo πατέρων suppone lo stato clericale o monastico di ambedue o almeno di una delle persone nominate; inoltre « patres » ha il senso di « defunti ».

[5] R. PIRRO, *Sicilia sacra*, Palermo 1733, 522.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

verso i musulmani, ma anche verso i greci della Calabria [1]. Sappiamo come si sforzò, riuscendovi, di ottenere la fondazione di un vescovato a Mileto, borgo fino allora oscuro, che scelse per sua residenza in Calabria, dando come ragione della fondazione la rovina di due sedi suffraganee di Reggio, Vibo e Tauriana [2]; Papa Gregorio VII glielo concesse il 4 febbraio 1081. La simultanea menzione di Ruggero e di Rodolfo come autori dell'elevazione di Luca a vescovo di Bova [3] farebbe supporre che Ruggero sia il fautore della erezione anche di Bova a sede vescovile per i greci, come lo fu per Mileto, e che Rodolfo di Cosenza abbia scelto Luca come titolare. Per questo caso si potrebbe pensare che Luca fosse un monaco della diocesi di Cosenza, d'origine o almeno di educazione latina, come abbiamo detto poco prima. Così si spiegano anche i suoi viaggi di predicazione in Sicilia, nei territori sottomessi a Ruggero. Siccome il successore di Rodolfo, Arnolfo di Cosenza, è attestato all'anno 1093 [4], la creazione di Luca a primo vescovo di Bova sarebbe avvenuta prima del 1093 e dopo il 1081, data dell'erezione di Mileto.

La mia ipotesi viene appoggiata dall'identificazione di un personaggio nominato nel testamento accanto al *protopapas* di Bova, Giovanni, aiuto preziosissimo di Luca: « il sapientissimo arcidiacono e maestro tra i dottori Niceta ». Ora noi troviamo un Niceta *presbyter et notarius* di Cagiano in due documenti del 24 Giugno 1098 e 19 Febbr. 1099 [5]; e la comune origine dalla stessa diocesi spiegherebbe come

[1] W. Holtzmann, *Die Unionsverhandlungen zwischen Kaiser Alexios I. und Papst Urban II. im J.* 1089, « Byz. Zeit. » 28, (1928), 45.

[2] *Ibid.*, 4; cfr. 43 n. 7.

[3] Sullo *status quaestionis* del Vescovado di Bova vedi W. Holtzmann, *Päpstl.*, p. 29 s., che corregge D. Martiri: Luca risulta primo vescovo conosciuto di quella città.

[4] Cfr. W. Holtzmann, *Die Unionsverh.*, 44, n. 3.

[5] F. Trinchera, *Syllabus graecarum membranarum* (1865), nn. 66 e 67, pp. 83 e 84.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

Luca avesse fatto venire a Bova, elevandolo alla dignità di arcidiacono, il sacerdote notario di Cagiano.

Secondo l'autobiografia frammentaria del testamento spirituale, Luca abbracciò da giovane la vita monastica, fu ordinato sacerdote, poi scelto da Rodolfo e Ruggero come vescovo di Bova e amministratore della metropolìa (cioè del territorio, non della città) di Reggio. Per 45 anni egli percorse la Calabria e la Sicilia, predicando contro gli usi pagani e musulmani, per una vita pura, colla parola e per iscritto. Frequenti malattie l'assalirono alla fine della sua carriera. Guarito da una di esse, scrisse il suo testamento spirituale. Morì il 5 Ottobre, che è il giorno della sua festa liturgica, secondo il *syntomon* sopra ricordato. L'anno della morte può oscillare fra 1125 e il 1136.

P. Joannou
Monaco di Baviera

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

TESTI INEDITI DI LUCA DI BOVA

Traduzione dal greco
di Margherita Isnardi

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

(158 r) Λουκᾶ εὐτελοῦς ἐπισκόπου Βοὸς καὶ ταπεινοῦ διακονητοῦ τῆς μεγάλης Ῥηγινῶν μητροπόλεως πρὸς τὰ πνευματικὰ τέκνα τοὺς ἱερεῖς τῶν ἀμφοτέρων φρουρίων ὑπόμνησις περὶ ἐξομολογήσεως καὶ ὅτι δεῖ ἐξ ἀρχῆς τῆς α'. ἑβδομάδος ἐξομολογεῖν.

Ἐγὼ μὲν ὁ εὐτελὴς καὶ ἀνάξιος πολλάκις ὑπέμνησα ὑμᾶς, τοῦ θεοῦ ἐφορῶντος ἐναντίον, καὶ νῦν ὑπομνήσκω πάλιν τὸ παρ' ἐμοὶ πρὸς ὑμᾶς χρεωστούμενον. Γινώσκετε, πνευματικὰ τέκνα καὶ ἀδελφοί, ὅτι ἐμοὶ μὲν τὸ σιωπᾶν ἄχθος, ὑμῖν δὲ πάλιν τὸ ἀπειθεῖν βαρύτερον· οἴδατε γὰρ κατὰ τὴν τῶν ἁγίων πατέρων καὶ ἀποστόλων παράδοσιν διὰ μετανοίας τυχεῖν σωτηρίας ἐλπίζομεν [1] καί ἵνα τὴν πρώτην ἑβδομάδα τῶν νηστειῶν τὰ ἡμέτερα ἕκαστος ἐξομολογήσωμεν σφάλματα, πολλάκις δι' ἀνισχυρίαν καὶ γεωργοὺς καὶ ποιμένας τὴν δευτέραν ἢ καὶ τὴν μετὰ ταύτην ἑβδομάδα καί μόνον· ἐπειδὴ γὰρ καὶ γέγραπται ὅτι χωρὶς ἐξομολογήσεως οὐδεὶς «ὄψεται τὸ σωτήριον τοῦ θεοῦ» [2] καὶ ὅτι «ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐκ νεότητος ἐπὶ τὰ πονηρά», [3] καὶ τοῦ πταίειν, οἱ τάλανες, πρῶτον ἐμαυτὸν σύμφημι, λόγῳ καὶ ἔργῳ οὐκ ἀφιστάμεθα. Τούτου χάριν παρελάβομεν καὶ συνεχῶς ἐξομολογεῖν, καὶ τοῦτο διαβόλου αἰσχύνη καὶ ἧττα, ἡμῖν δὲ χαλινὸς καὶ κουφισμὸς πταισμάτων καὶ ἀνακαίνισις «ἐβαπτίζοντο, γάρ φησιν, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν» (158 v). Ἐν πρώτοις τὸ ἱερατεῖον, ὥς φησιν ὁ ἀρχιερεὺς κύριος καὶ δεσπότης ἡμῶν· «ὑμεῖς ἐστέ, φησιν, ἡ ὁδὸς καὶ τὸ φῶς» [4] τοῦ ἐν ὑμῖν ἀγνώστου λαοῦ· καὶ πάλιν οἱ μαθηταὶ πρὸς τὸν διδάσκαλον, «κύριε δεῖξον ἡμῖν τὴν ὁδὸν καὶ ἀρκεῖ ἡμῖν» [5] «Ἄξιον, πᾶσαν ἀρίστην ὁδὸν οἱ διδάσκοντες τοὺς διδασκομένους δι' ἔργων διδάσκειν. ὁμοίως καὶ ᾧδε ὡς λέ-

[1] Act. 11, 18.
[2] Luc. 3, 6.
[3] Gen. 8, 21.
[4] Mt. 3, 6.
[5] Mt. 5, 4 (om. ὁδός).

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

Esortazione di Luca, indegno vescovo di Bova e umile amministratore della grande metropoli di Reggio, ai suoi figli spirituali, i sacerdoti, delle due città, circa la confessione, e che ci si deve confessare all'inizio della prima settimana di quaresima.

Io, meschino e indegno, spesso vi ho ricordato, al cospetto stesso di Dio, e vi ricordo ora di nuovo ciò ch'è mio dovere dirvi. Sapete, o figli spirituali e fratelli, che è grave colpa per me il tacere, ma è ancor più grave per voi il disubbidire ; sapete infatti che, secondo quanto ci hanno insegnato i santi Padri e gli apostoli, noi speriamo di ottenere la salvezza mediante il pentimento, e a tale scopo essi ci raccomandano di confessare ciascuno i nostri peccati nella prima settimana di quaresima (ma possiamo permettere ai contadini e ai pastori, per le loro particolari occupazioni, di confessarsi solo la seconda o ancora la successiva) ; poiché sta scritto che senza la confessione nessuno « vedrà la salvezza che viene da Dio », e che « l'indole dell'uomo fin dalla prima giovinezza è incline al male » ; né mai desistiamo dal peccare, o noi infelici ! e dico per primo me stesso, in parole e in opere. Per questo abbiamo appreso che occorre continuamente confessarsi ; è il solo mezzo per confondere e sgominare il demonio, è per noi un freno, un alleviamento della colpa, un vero rinnovamento. « Si battezzavano », egli dice, « confessando i loro peccati ».

Anzitutto devono confessarsi i sacerdoti, come dice il primo Sacerdote Signor nostro. « Voi siete », egli dice « la via e la luce » del popolo ignaro che sta fra voi. E i discepoli dicono al Maestro : « Signore, mostraci la via, e ciò ci basta ». Ed è giusto che coloro che hanno il compito di insegnare la migliore strada verso Dio adempiano ad esso verso i loro discepoli anzitutto con le opere, come noi diciamo, o piuttosto come

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

γομεν, μᾶλλον ὡς διδάσκει ὁ κύριος καὶ διδάσκαλος ἡμῶν Ἰησοῦς Χριστός, «ἐξομολογεῖσθε εἰς ἀλλήλους, φησίν, ὅπως ἰαθῆτε» [6]. Ὁμοίως ἐξομολογείσθω ἕκαστος καὶ πᾶς ὁ λαὸς εἰς τοὺς ἰδίους ποιμένας, προσχῶμεν καὶ τὸ τοῦ λαοῦ πρὸς τοὺς ἱερεῖς βάρος, ὥς φησι κύριος διὰ τοῦ αὐτοῦ προφήτου λέγων, «λαλεῖτε, ἱερεῖς, τῷ λαῷ μου καὶ ἀναγγείλατε τὰς ἁμαρτίας αὐτῶν» [8],

Ταῦτα συνιῶντες, τέκνα, μηδεὶς «υἱὸς ἀπειθείας» [9] καὶ ὅτι «παρακοὴ θάνατος» [10] «ἰδοὺ καιρὸς ἐπιτήδειος καὶ σωτηρίας ἡμέρα» [11], ἰδοὺ [σωτήριος] πραγματεία ἡ ἁγία νηστεία. Ἀποθώμεθα «τὰς βιωτικὰς φροντίδας» [12], κατὰ τὸ θεῖον καὶ ἅγιον εὐαγγέλιον, ἀποθώμεθα «τὰ ἔργα τοῦ σκότους» [13], πάλιν ὡς διδάσκει ὁ θεῖος ἀπόστολος, ἀποθώμεθα τὰ τῆς γαστριμαργίας καὶ «μέθης καὶ κραιπάλης» [14] ἔργα, ἐξομολογήσωμεν ὁμαδὸν ἄνδρες ὁμοῦ καὶ γυναῖκες, ὁμοίως μοναχοὶ καὶ κοσμικοί, μικροί τε καὶ μεγάλοι, πάντα ὅτι ἢ ἐκ πάντων τῷ ἱερεῖ ἐξομολογήσωμεν ὡς «τῷ θεῷ καὶ οὐκ ἀνθρώπῳ» [15] καὶ μηδὲν τοὺς λογισμοὺς ἀποκρύπτοντες τοῦ καρδιογνώστου ἐνώπιον. καὶ μηδεὶς λεγέτω, τέκνα, ὅτι (159 r) ἅλλοτε καὶ πέρυσι ἐξομολογῆσαι ἁμαρτίαν οὐκ ἔχω· ταῦτα τοῦ διαβόλου σοφίσματα. Εἰ περὶ τῶν συγκατιθημένων λογισμῶν [16] ἀπολογίαν χρεωστοῦμεν, ὡς διδάσκει τὸ εὐαγγέλιον, τί περὶ τῶν ἔργων ποιήσωμεν; Ἐγὼ γάρ, τέκνα, ὡς χρεώστης ὑπομνήσκω, καὶ γὰρ ἐγώ, ἀδελφοί, εἷς ἐξ ὑμῶν καὶ ὑπὲρ πάντας ἀνάξιος, ἀλλ' ὡς ταπεινὸς καὶ εὐτελὴς καὶ τοῖς ἱερεῦσι τὴν ὀφειλομένην διακονίαν εἰς ὑμᾶς βεβαιῶν, τοῦ λέγοντος, ἐνωτίσασθε, «ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει» [17] καὶ «ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται», [18] ὁ Χριστός

[6] Jo. 14, 8 (δ. ἡ. τὸν πατέρα).
[7] Jac. 5, 16.
[8] Is. 58, 1.
[9] Eph. 2, 2.
[10] Rom. 5, 19.
[11] II Cor. 6, 2 (l. v. κ. εὐπρόσδεκτος).
[12] Luc. 21, 34 (μερίμναις βιωτικαῖς).
[13] Rom. 13, 12.
[14] Luc. 21, 34.
[15] Act. 12, 22 (κυρίῳ κ. ο. ἀνθρώποις); cfr. Eph. 6, 7; Col. 3, 23.
[16] sic!; cfr. Mt. 5, 28.
[17] Luc. 10, 16.
[18] Mt. 10, 40.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

dice il Maestro nostro Gesù Cristo: « confessatevi gli uni agli altri, per poter essere risanati ». E quindi ciascuno singolarmente e tutto il popolo si confessi presso i suoi pastori: riversiamo sui sacerdoti tutto il peso che grava sul popolo, così come il Signore ci dice per bocca del Profeta: « Parlate, o sacerdoti, al mio popolo, e rivelategli tutti i suoi peccati ».

Se comprenderete queste cose, figli, cioè che nessuno di voi deve essere « figlio della disubbidienza », e che « la disubbidienza è morte », « ecco il tempo propizio e il giorno della salvezza », ecco una pratica salutare, il santo digiuno. Scacciamo le « preoccupazioni della vita quotidiana », secondo le parole del divino e santo Vangelo; « scacciamo, tutti, le opere delle tenebre », come di nuovo insegna il santo apostolo; scacciamo le opere della gola, « dell'ebbrezza e della crapula », e confessiamoci tutti insieme, uomini e donne, monaci e secolari, umili e grandi, completamente, di tutto, al sacerdote, « come a Dio e non a un uomo », senza cercar di nascondere i nostri pensieri di fronte a Colui che conosce i cuori; e nessuno dica, figli, che non ha da confessare peccato lontano né recente. Questi sono raggiri del demonio.

Se dobbiamo giustificarci, dice il Vangelo, perfino dei pensieri cui abbiamo consentito, che cosa non dovremo fare per le opere? Vi ricordo ciò da debitore qual sono, o figli; anch'io, fratelli, sono uno di voi, anzi sono fra tutti il più indegno; ma, per umile e da poco che sia, ho il compito di confermare i sacerdoti nel servizio ch'essi prestano; ascoltate dunque colui che dice: « Chi ascolta voi, ascolta me » e « chi riceve voi, riceve me » (così dice Cristo); ascoltatelo

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

φησίν· αὐτοῦ πάλιν διὰ τοῦ προφήτου ἀκούσατε· «παρακαλεῖτε, φησίν, ἱερεῖς, τὸν λαόν μου, ὑψώσατε ὡς σάλπιγγα τὴν φωνὴν ὑμῶν, ἐπιστράφητε πρός με ἐξ ὅλης τῆς καρδίας ὑμῶν ἐν νηστείᾳ καὶ ἐν κλαυθμῷ», καί φησι διὰ Ἰωὴλ τοῦ προφήτου «σαλπίσατε σάλπιγγι ἐν Σιών, τουτέστιν ἐν τῇ ἐκκλησίᾳ τῶν πιστῶν, κηρύξατε [θεραπείαν]» [19] τῶν ἁμαρτιῶν δι' ἐξομολογήσεως. Σκοπεῖτε, τέκνα, οἱ τῶν ἱερέων ἀνθεστηκότες, μᾶλλον δὲ τὸν θεὸν παροργίζοντες, σαλπίσαντες, γάρ φησι «συνάγετε λαόν, ἁγιάσατε ἐκκλησίαν, ἐκλέξασθε πρεσβυτέρους, ἁγιάσατε νηστείαν, συναγάγετε νήπια θηλάζοντα μαστοὺς καὶ νύμφη μετὰ νυμφίου», [20] ἐν τῇ ἐκκλησίᾳ ἐλθεῖν προσφωνήσατε». μάθωμεν, τέκνα, [τί] «σαλπίσατε καὶ συνάξασθε», ἀκούσωμεν οἱ ἀμελεῖς καὶ ῥάθυμοι καὶ ἀπρόθυμοι, συναγάγετέ, φησι, λαὸν εἰς τὴν ὁδὸν κυρίου, ἵνα [μὴ] [21] ἀπολέσωνται, τοὺς ᾧδε [κακῶς] εἰς βάραθρα περιπλανωμένους, συνάξατε τοὺς ἐν γαστριμαργίαις (159 v) καὶ μέθαις καὶ ἀσωτείαις καὶ ἐν παιγνίοις ἀπολλυμένους δαιμονικῶς σαλπίσατε ὅτι καιρὸς μετανοίας, παυθήτωσαν τὰ πολυειδῆ τῶν βρωμάτων ἐδέσματα καὶ τῆς μέθης τὰ μεγαλοποτήρια. Λαλεῖτε, ἱερεῖς, τῷ λαῷ, πάντες ἐν τῷ λιμένι τῆς ἐκκλησίας προσδράμετε, πάντες τὸν ὕπνον τῆς ῥαθυμίας καὶ ἀπωλείας ἀποτινάξατε. Κηρύξατε, ἱερεῖς, τοῖς τὸ γῆρας προφασιζομένοις καὶ τὴν νεότητα εἰς πονηρὰς ἐργασίας δαπανηκότας, φωνήσατε τοῖς κοιλιοδούλοις καὶ ὑπνομάχοις ἐν τῷ οἴκῳ προφθάσαι κυρίου καὶ τῶν ἀπειλημάτων ἀκούσατε, «οὐαί, φησιν, οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μακρῷ», [22] οὐαὶ οἱ ἀναθαλλόμενοι τὸ ἡμέραν ἐξ ἡμέρας καὶ τὰ μὴ αὐτῶν ἐπαγγελθέντες· οὐαὶ οἱ τὴν νεότητα ὑπισχνουμένους εἰς τὸ γῆρας τὸν θεὸν θεραπεῦσαι. Δείξατε, ἱερεῖς, τὴν ὁδὸν τοῦ ἀπολλυμένου ἐν ἁμαρτίαις λαοῦ, ἰδοὺ «ἡ ὁδὸς ἐγώ εἰμι», [23] Χριστός φησιν αὐτὸς διὰ τοῦ παρόντος καιροῦ τῆς ἁγίας νηστείας, «ὕπαγε ὀπίσω μου, σατάν», [24] ἐκδιδάσκει. Κατὰ τὸν αὐτοῦ κήρυκα Παῦλον καὶ ἡμεῖς τὴν πάλην πρὸς αὐτὸν ἀναλάβωμεν, «οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, φησίν, ἀλλὰ

[19] Joël 2, 12 et 15.
[20] Joël 2, 16.
[21] ἵν' ἀπολ. Cod.
[22] Is. 5, 18.
[23] Jo. 14, 6.
[24] Mt. 4, 10 (σατανᾶ).

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

di nuovo, per bocca del profeta: « chiamate, o sacerdoti, il mio popolo, alzate la voce come suono di tromba, volgetevi con tutto il vostro cuore a me, nel digiuno, nel lamento, nella contrizione ». Così egli vi dice per bocca del profeta Gioele: « suonate con la tromba in Sion, cioè nell'adunanza dei fedeli, annunciate la guarigione » dei peccati per mezzo della confessione. O figli, voi che state contro i sacerdoti, voi che provocate l'ira di Dio, guardate come egli dica: « suonate le trombe, radunate il popolo, santificate l'adunanza, eleggete i presbiteri, celebrate il santo digiuno, conducete anche gli infanti che ancora succhiano la mammella, esortate a venire anche la sposa con lo sposo nella santa adunanza ». Meditiamo bene, o figli, che cosa significhi: « suonate le trombe e radunatevi »; ascoltiamo, noi indifferenti e pigri e negligenti: egli dice: « radunate il popolo sulla via del Signore », perché non si perda; radunate coloro che vanno errando sciaguratamente verso il baratro; raccogliete quelli che stanno perdendosi in crapule e ubriachezze e sregolatezze e sollazzi per ispirazione diabolica. Suonate la tromba per annunciare che è giunto il tempo del pentimento; cessino i lauti banchetti di cibi svariati e le grandi coppe dell'ubriachezza. Parlate al popolo, o sacerdoti: tutti corrano nel porto della chiesa, allontanando da sé il sonno della pigrizia che porta alla rovina.

Esortate, o sacerdoti, coloro che adducono a scusa la vecchiaia o che sciupano in cattive azioni la giovinezza, dite ai servi del ventre e ai vinti dal sonno che si affrettino verso la casa del Signore; fate udire le sue minacce: « Guai, egli dice, a quelli che si lasciano tirare dai loro peccati come da una grossa fune ». Guai a chi rimanda di giorno in giorno, promettendo cose che non dipendono da lui; guai a chi nella giovinezza promette di mettersi a servire Dio in vecchiaia! Mostrate, o sacerdoti, la vera via da seguire a questo popolo perduto nel peccato; ecco che Cristo stesso dice: « Io sono la via », e lo ripete nell'occasione odierna del santo digiuno quaresimale; e insegna a dire: « vattene, Satana ». Secondo la parola del suo araldo Paolo, anche noi intraprendiamo la lotta contro il demonio: « la mia lotta, egli dice, non è contro la carne e il sangue, ma contro i prìncipi e le potestà », con

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

πρὸς τας ἀρχὰς καὶ ἐξουσίας»[25] καὶ τὰ ἑξῆς· ταύτης τῆς πάλης ὁδὸς ἡμῖν ὁ Χριστός ἐστιν, αὐτὸς τεσσαράκοντα σὺν ταῖς νυξὶς ἡμέρας νηστεύσας,[26] ἡμῖν νηστεύειν παρέδωκεν· ἀκολουθή(160 r)-σωμεν καὶ ἡμεῖς προθύμως αὐτῷ. «Δεῦτε ὀπίσω μου»[27] ὁ αὐτός φησι· μιμησώμεθα τὴν αὐτοῦ νηστείαν καὶ ταπείνωσιν, ὁμοίως τὴν προσευχὴν καὶ τὰ πάθη, ἵν' οὕτως καὶ τῶν μεγίστων παθημάτων τῆς ἁμαρτίας ῥυσθῶ, ἐν καὶ τῆς αὐτοῦ κοινωνήσωμεν ἀναστάσεως. Εἰ αὐτὸς ὁ ἅγιος καὶ ἀναμάρτητος διὰ νηστείας καὶ πειρασμοῦ, προσευχῶν τε καὶ ἀγρυπνιῶν, ὀνειδισμῶν τε καὶ κολαφισμῶν καὶ δι' αἵματος μαρτυρίου τὸν βίον ἐπέρανε, τί ἂν ἡμεῖς οἱ ῥάθυμοι καὶ ἀμελεῖς καὶ μυρίων πεπληρωμένοι κακῶν; «Ἔξομεν ἄρα ἀπολογίαν ἢ σωτηρίαν ἐλπίζομεν; Ἐπιμείνωμεν τῇ κακίᾳ καὶ ἁμαρτίᾳ, «ἵνα ἡ χάρις τοῦ θεοῦ πλεονάζῃ»;[28] «Μὴ βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι»[29] τοῦ ἀποστόλου διδάσκοντος, πάλιν «τέκνα παρακοῆς»[30] γενησόμεθα;

«Λαλεῖτε, ἱερεῖς, φησί, τῷ λαῷ μου, ἐν νηστείᾳ καὶ ἐν κλαυθμῷ καὶ ἐν κοπετῷ»[31] πρὸς μετάνοιαν ἐπιστρέψαι. Σκοπεῖτε πάλιν εἰς τὸν καιρὸν τῆς νηστείας, ὃν μέθαις καὶ γαστριμαργίαις καὶ παιγνίοις καὶ γελοιασμοῖς διαβάζοντες, ἐν κλαυθμῷ καὶ ἐν κοπετῷ τοῦ ἁγίου πνεύματος διὰ τοῦ προφήτου νηστεύειν κελεύοντος, τί ποιήσομεν, ὡς εἴπομεν, οἱ ἐν μέθαις καὶ γελοιασμοῖς λέγοντες ὅτι νηστεύομεν; «Ἀναμέσον τῆς κρηπίδος καὶ τοῦ θυσιαστηρίου κλαύσονται οἱ ἱερεῖς καὶ ἐροῦσι, φεῖσαι, κύριε, τοῦ λαοῦ σου καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις αὐτῶν»[32]. Σκοπεῖτε οἱ ἀμελῶς διακείμενοι καὶ σὺν τοῖς ἱερεῦσιν ἐν κλαυθμῷ καὶ κοπετῷ τὴν ἄφεσιν ἐκζητήσωμεν (160 v). Συνήσωμεν εἰ ἄρα οἱ ἔξω νόμου καὶ μετὰ τοῦ θεοῦ καὶ ἕως νῦν οἱ σωθέντες διὰ γαστριμαργίαις καὶ μέθαις καί μετεωρισμοῖς διεσώθησαν, «οἱ ᾧδε κλαίοντες

[25] Eph. 6, 12.
[26] Cfr. Mt. 4, 2 sgg.
[27] Mt. 4, 19.
[28] II Cor. 4, 15.
[29] Ro. 6, 12.
[30] Eph. 2, 3 (ὀργῆς).
[31] Joël 2, 12.
[32] Joël 2, 17.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

tutto quel che segue. La via di questa lotta è per noi Cristo, che ha digiunato quaranta giorni e quaranta notti, e ci ha lasciato l'ammonimento di fare a nostra volta digiuno ; seguiamolo volonterosamente ; egli dice : « venite dietro a me » ; imitiamo dunque il suo digiuno e la sua umiltà, e pure la sua preghiera e i suoi patimenti, per poter essere così liberati dai più gravi patimenti del peccato, per poter essere partecipi della sua risurrezione. Se egli, il santo, il senza colpa, passò la sua vita fra il digiuno e la tentazione, le preghiere e la veglia, gli oltraggi e le percosse, e infine il martirio sanguinoso, che cosa non dovremmo fare noi, pigri e negligenti, e pieni di infinite colpe ? Avremo una difesa, potremo sperare nella salvezza ? o perdureremo nella malvagità e nel peccato, « affinché la grazia di Dio sovrabbondi » ? « Non regni il peccato nel nostro corpo mortale », ci insegna l'apostolo ; e vorremo noi di nuovo diventare « figli della disubbidienza » ?

« Parlate, o sacerdoti, al mio popolo » egli dice ; « esortatelo al digiuno, al lamento, al pianto », a volgersi al pentimento. Meditate : viene di nuovo il tempo del digiuno : se lo passerete in ebbrezze e gozzoviglia e sollazzi e giochi, mentre lo Spirito Santo per bocca del profeta ci ordina di digiunare nel lamento e nella contrizione, come faremo (già lo abbiamo detto), come potremo dire che stiamo digiunando mentre ci troviamo fra ebbrezze e sollazzi ? « Tra il vestibolo e l'altare i sacerdoti piangeranno e pregheranno : risparmia, o Dio, il tuo popolo, sii misericordioso verso le sue colpe ». Orsù, voi che giacete nella negligenza, prestate orecchio, e tutti adoperiamoci per ottenere la remissione delle nostre colpe, insieme coi sacerdoti, nel lamento e nella contrizione. Osserviamo e meditiamo se quelli che non erano sotto la legge mosaica e che sono ormai con Dio, quelli che finora si sono salvati, si siano salvati attraverso la gozzoviglia, le ebbrezze, le eccitazioni, oppure per aver prestato orecchio al detto del Salvatore : « quelli che qui piangono,

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

ἐκεῖ γελάσουσι», [33] τοῦ Σωτῆρος ἀκούοντες. Τοὺς τὴν ὁδὸν εἰδότας ἀκολουθήσωμεν, μιμησώμεθα τὸν Δαυὶδ λέγοντα, «ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων», [34] καὶ ἑτέρωθι ἐν κλαυθμῷ καὶ κοπετῷ καὶ πολλῇ ταπεινώσει λέγει, «ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον». [35] Συνήσωμεν μετάνοιαν ἐπιστρέφοντος, εἰσώμεθα τοῦ Μανασσῆ τὴν θερμὴν ὡσαύτως μετάνοιαν, [36] τῆς πόρνης τὰ δάκρυα, [37] τοῦ τελώνου τὸν στεναγμόν, [38] τοῦ Ζακχαίου τὸ πρόθυμον, [39] τῆς αἱμόρρου τὴν πίστιν· [40] καί τίς ἐξειπεῖν δυνήσεται τὴν τοῦ ἀγαθοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ φιλανθρωπίαν καὶ ἀγαθότητα, πόσους ἐν τῇ παλαιᾷ καὶ καινῇ διαθήκῃ ἔσωσε καὶ σῴζει ὁ μόνος ἐλεήμων καὶ πολυεύσπλαγχνος, πόσους λῃστὰς, πόσους φονεῖς, πόσους μοιχούς, ὁμοίως ἐν πορνείαις ἀσώτους, οὐ μόνον ἄνδρας, ἀλλὰ καὶ γυναῖκας διὰ τῆς μακαρίας μετανοίας διέσωσε. Δεῦτε ὁμαδὸν προσπέσωμεν καὶ προσκυνήσωμεν καὶ κλαύσωμεν, δεόμενοι τῷ θέλοντι τὴν σωτηρίαν ἡμῶν. «Ἰδοὺ καιρὸς μετανοίας», [41] μηδεὶς εἰς τὸ ἐξῆς ἀμελής, μηδεὶς ὀκνηρός, μηδεὶς ἀναβάλλοι(161 r)το ἐν ἁμαρτίαις, προφασιζόμενος πάντας θεὸς θέλει σωθῆναι· «οὐκ ἦλθον καλέσαι δικαίους, φησίν, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν» [42].

Δόξα τῇ εὐσπλαγχνίᾳ σου, εἴπωμεν· δόξα τῇ ἀνεικάστῳ μακροθυμίᾳ σου καὶ ἀγαθότητι, δόξα σοι ὅτι οὐκ ὄντας ἐποίησας, πεσόντας ἐξήγειρας, τραυματισθέντας θεραπεύεις, μακρυνθέντας ἐπιζητῶν, πλανωμένους ἐπιστρέφεις, αἰχμαλωτισθέντας ἡμᾶς ἐλευθεροῖς, μετὰ θάνατον ἀνάστασιν ἐπαγγέλλεις, πάντα ὡς φιλόστοργος πατὴρ τοῖς ἀναξίοις ἐπιβραβεύει παισί σου καὶ δούλοις. Δόξα τοῖς ἀνεικάστοις σου οἰκτιρμοῖς, πανάγαθε καὶ πολυεύσπλαγχνε

[33] Luc. 6, 21 (σῦ).
[34] Ps. 101, 10.
[35] Ps. 50, 11.
[36] II Paral. 33, 13.
[37] Luc. 7, 38.
[38] Luc. 18, 10.
[39] Luc. 19, 8.
[40] Mt. 9, 20.
[41] II Cor. 6, 2 (τωτηρίας).
[42] Mt. 9, 13.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

là rideranno ». Seguiamo coloro che conoscono la via ; imitiamo Davide che dice : « bagnerò di lacrime il mio giaciglio, e mescolerò la mia bevanda col mio pianto » ; e altrove, in lamento e contrizione e grande umiliazione, dice : « distogli il tuo sguardo dai miei peccati, e cancella tutte le mie iniquità ». Osserviamo il pentimento del peccatore penitente, osserviamo l'altrettanto ardente pentimento di Manasse, le lacrime della prostituta, il lamento del pubblicano, i buoni proponimenti di Zaccheo, la fede della donna emorragica. E chi potrà descrivere l'amore per gli uomini e la bontà del buon salvatore nostro Gesù Cristo, dire quanti nell'antico e nel nuovo testamento salvò e salva, lui ch'è solo misericordioso e benigno ; quanti ladri, quanti assassini, quanti adulteri e uomini perduti nell'impurità, quante donne sciagurate salvò mediante il felice pentimento ? Prostriamoci dunque tutti qui insieme, adoriamo e piangiamo, pregando Lui che vuole, benigno, la nostra salvezza. « Ecco il tempo propizio per il pentimento » ; nessuno d'ora in poi sia più negligente e pigro, nessuno indugi nel peccato cercando giustificazione ; Dio ha affermato di voler salvare tutti : « non sono venuto a chiamare i giusti, ma ad invitare i peccatori alla penitenza ».

Gloria alla tua misericordia, diciamo insieme ; gloria alla tua impareggiabile generosità e benignità, gloria a te che ci facesti dal nulla, ci sollevasti caduti, ci curasti feriti, ci ricercasti sviati, ci richiamasti a te dal nostro errore, ci liberasti dalla prigionia ; a te che ci annunzi la risurrezione dopo la morte, e concedi tutto a noi tuoi indegni figli e servi, come un padre amoroso. Gloria alla tua impareggiabile misericordia, o Padre infinitamente buono e benigno. Così, o figli,

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

πάτερ. Οὕτως, ὦ τέκνα, τὸν ἀγαθὸν ἡμῶν αἰτησώμεθα θεὸν καὶ διδάσκαλον· δεηθῶμεν «ἐν φόβῳ τὴν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι»· [43] ἐπικάμψωμεν αὐτῷ τῇ συνοχείᾳ τῆς εὐχῆς καὶ ἐντεύξεως, ταπεινωθῶμεν καὶ δεηθῶμεν αὐτῷ, ἵνα καὶ μετὰ τῶν ἁμαρτιῶν συγχώρησιν οἰκεῖοι αὐτῷ γενησώμεθα. «Γρηγορεῖτε, αὐτός φησι, καὶ προσεύχεσθε». [44] μιμηθῶμεν τὸ κατὰ τὴν χήραν ὥσπερ ὑποδείγματι, ἥτις τὸν ἀνελεῆ καὶ ὠμὸς ἐπέκαμψεν ἄρχοντα τῇ συνεχείᾳ τῆς ἐντεύξεως, λέγουσα, «ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου» [45]· καὶ ἡμεῖς ὡσαύτως ἐκ ψυχῆς βοήσωμεν, οἰκτείρησον, ἱλάσθητι, σπλαγχνίσθητι, κύριε. ἀξίωσον ἡμᾶς, δέσποτα, μετὰ καὶ τῆς παρούσης καὶ τὰς ἑξῆς τῶν νηστειῶν ἑβδομάδας εὐαρέστως δουλεῦσαί σοι καὶ τὸ συμπροσκυνῆσαι τρι(161 v)ήμερον ἐξανάστασιν. Ἐνίσχυσον ἡμᾶς λατρεῦσαι τῇ σῇ ἀγαθότητι ἐν ἐξομολογήσει καὶ δάκρυσι, ἐν προσευχῇ κατανύξεως, ἐν ἀγρυπνίαις καὶ οἰκτιρμοῖς πενήτων. Ἐλέησον ἡμᾶς τῆς παναχράντου μητρός σου καὶ τῶν ἁγίων ἀγγέλων δεήσεσι καὶ τὴν εὐχὴν ἡμῶν κατεύθυνον ὡς θυμίαμα· ἐλέησον ἡμᾶς τοῦ ἁγίου προδρόμου καὶ τῶν σῶν ἀποστόλων δεήσεσιν, ἐλέησον ἡμᾶς τῶν ἁγίων σου ἀρχιερέων καὶ ὁσίων πρεσβείαις, ἐλέησον ἡμᾶς τῶν σῶν ἁγίων μαρτύρων καὶ προφητῶν σου ἐντεύξεσιν, ἐλέησον ἡμᾶς ἐν τῷ παρόντι καὶ μέλλοντι πάντων τῶν ἁγίων δεήσεσιν, ὅτι «πάντας θέλεις σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν», [46] πατὴρ ἡμῶν ὁ οὐράνιος, καὶ σοὶ τὴν δόξαν καὶ τήν προσκύνησιν δι' ἐξομολογήσεως ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταύτην καὶ τὰς μετὰ ταύτην δύο ἑβδομάδας τῷ λαῷ τὴν παραίνεσιν συνεχῶς ὑπομνήσκετε οἱ καὶ μὴ ἐξομολογοῦντες ὑπεύθυνοι. Τὴν δὲ ἕκτην [47] τῆς πρώτης ἑβδομάδος βιωτικὴν πᾶσαν μέριμναν οἱ πάντες καταφρονοῦντες, ἄνδρες τε καὶ γυναῖκες, τῇ ἐκκλησίᾳ σχολάζοντες τὸ χρέος τῆς ἐξομολογήσεως πληρώσωμεν· ταύτην

[43] Phil. 2, 12 (μετὰ φόβου).
[44] Mt. 26, 41.
[45] Luc. 18, 3.
[46] I Tim. 2, 4.
[47] Feria sexta!

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

preghiamo il nostro buon Dio e maestro; preghiamolo « operando nel timore per la nostra salvezza ». Prostriamoci di fronte a lui nella continua preghiera, nella continua orazione; umiliamoci e supplichiamolo che ci faccia divenire suoi familiari, dopo averci concesso il perdono delle nostre colpe. « Vegliate », egli dice « e pregate ». Imitiamo l'esempio della vedova, che riuscì a piegare il magistrato spietato e a volgerlo a compassione con la sua insistenza nella preghiera, dicendo: « fammi giustizia contro chi mi offende ». Ugualmente gridiamo dal fondo della nostra anima: abbi pietà, abbi misericordia, abbi compassione, o Signore; concedici, o tu nostro padrone, per questa settimana di digiuno quaresimale e per le seguenti, di poterti servire in modo che ti piaccia, e di celebrare adorando la tua risurrezione dopo tre giorni. Dacci la forza di venerare la tua bontà nelle lacrime della confessione, nella preghiera piena di compunzione, nella continua veglia notturna, nelle preghiere insonni, nelle elemosine e nelle opere di misericordia verso i poveri. Abbi pietà di noi per le preghiere della tua madre sempre vergine e dei santi angeli, e indirizza la nostra preghiera a buon fine come un'offerta d'incenso; abbi pietà di noi per le preghiere del tuo santo precursore e dei tuoi apostoli, abbi pietà di noi per l'intercessione dei tuoi santi sommi sacerdoti e di tutti i santi della tua chiesa, abbi pietà di noi per le intercessioni dei tuoi santi martiri e profeti, abbi pietà di noi per le preghiere di tutti i tuoi santi, nel presente e nel futuro, perché « tu vuoi che tutti si salvino e giungano alla conoscenza della verità », o nostro Padre celeste; a te gloria e onore rendiamo nella confessione; al Padre, al Figlio, allo Spirito Santo, ora e sempre e nei secoli dei secoli. Amen.

Ricordate continuamente al popolo questa esortazione nella settimana presente e nelle due settimane successive, voi che siete responsabili pur non avendo funzioni di confessori. Nel sesto giorno della prima settimana tutti, uomini e donne, lasciando da parte ogni preoccupazione della vita quotidiana e dedicando alla chiesa il nostro tempo, adempiamo al dovere della confessione; e voi servi di Dio, in questo

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

γὰρ τὴν ἡμέραν ὡς ἐτυπώσαμεν (162 r) τὰς στολὰς ἀλλαγμένοι οἱ τοῦ θεοῦ λειτουργοί, ἕκαστος τοῦ ἰδίου τὴν διακονίαν πληροφορησ[άτω]. Λέγωμεν δὲ ψαλμὸν [γ'.], ἕκτον καὶ ν'. καὶ τὸ Κύριε παντοκράτορ καὶ ὁ ἀπόστολος καὶ εὐ[χὴ] εἰς μετανοοῦντας· μετὰ δέ τὸ εὐαγγέλιον λέγεται δ'. Ἐλέησον ἡμᾶς, ὁ θεός, καὶ ὁ ἱερεὺς τὴν μεγάλην εὐχήν. Δέσποτα αὐτοκράτορ,[48] ὁ θεὸς τῶν ὑψωμάτων, ὕψιστε παντοκράτορ καὶ ποιητὰ τῶν ἁπάντων, βασιλεῦ τῶν ἐπουρανίων καὶ ἐπιγείων, ὁρατῶν τε καὶ ἀοράτων, ἐξ ὧν καὶ ἡμεῖς σαφῶς παρήχθημεν ἔργα χειρῶν σου καὶ ποίημά σου· ἄξιον ἀναγγελεῖν τὸ ποίημα τὴν μεγαλοπρέπειαν τῷ ποιήσαντι· ἡμεῖς ὁ πηλὸς καὶ σὺ ὁ πλάστης ἡμῶν, σὺ πατὴρ ἡμῶν καὶ ἡμεῖς υἱοί σου, κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν· εἰ καὶ τὸ καθ' ὁμοίωσιν μὴ φυλάξαντες, τὴν ἀμοιβὴν τῆς παρακοῆς ἀντελάβομεν, ἀλλὰ πάλιν διὰ τῆς εὐσπλαγχνίας σου θειοτέρας ἀναπλάσεως ἀνακαινίσαι ἠξίωσας, διὰ τοῦ μονογενοῦς σου υἱοῦ καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ ἁγίου σου πνεύματος· καὶ ἐκ τοῦ σκότους τῆς ἀγνωσίας εἰς ἐπίγνωσιν τῆς σῆς ἐπανήγαγες ἀληθείας καὶ ξένους καὶ ἐθνικοὺς ὑπάρχοντας κληρονόμους ἐκάλεσας διὰ φιλανθρωπίαν καὶ τῶν πατρικῶν δωρεῶν μετόχους ἀνέδειξας, ἀντὶ Ἰσραὴλ χριστιανισμόν, ἀντὶ προφητῶν ἀποστόλους, ἀντὶ κιβωτοῦ ἐκκλησίαν, ἀντὶ σκηνῆς καὶ λυχνίας καὶ στάμνου τὴν πανάμωμον καὶ ἄσπιλον κυρίαν ἡμῶν τὴν παρθένον, ἀντὶ τοῦ ἐκεῖ μάννα τὸ ἄχραντόν (162 v) σου σῶμα καὶ σεβάσμιον αἷμα, ἀντὶ Μωϋσέως καὶ Ἀαρὼν αὐτὸν τὸν μονογενῆ σου υἱὸν καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἀντὶ τοῦ θεογράφου σου νόμου τὰ θεῖα τῆς δόξης σου εὐαγγέλια εἰς τήρησιν τῶν ἀχράντων σου ἐντολῶν. Ἀλλ' ὡς ἐκεῖ τοῦ νόμου παράβασις γέγονε, καὶ ἡμεῖς ἐν ταῖς εὐαγγελικαῖς ἡμάρτομεν ἐντολαῖς σου· νήπιοι ἐν τῷ σῷ ὀνόματι βαπτισθέντες, ἀκάθαρτοι γεγόναμεν καὶ ἐσμέν, ὠθούμενοι ὑπὸ τοῦ διαβόλου, τοῦ ζητοῦντος ἀεὶ τὴν ἡμετέραν ἀπώλειαν ὡς τῶν πάλαι παραβάντων τὰς ἐντολάς. Ἀλλὰ συγχώρησον, δέσποτα, ὅτι τὸ χρηστὸν κέκληται εἰς ἡμᾶς ὄνομά σου καὶ

[48] L'ufficio qui descritto non corrisponde all'ufficio per la penitenza dell'Euchologio, nemmeno a quello del Rituale latino. Molto probabilmente fu composto dal Vescovo stesso, come la preghiera che segue.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

giorno, come vi abbiamo istruiti, cambiatevi le stole, compite ciascuno il servizio del suo gregge. Recitiamo il salmo terzo, il sesto e il cinquantesimo, e la preghiera « Signore onnipotente », l'apostolo e la preghiera per i penitenti. Dopo il Vangelo si dica : « Pietà di noi, o Signore » ; e il sacerdote pronunci la grande preghiera :

« Signore e padrone assoluto, Dio delle sublimi altezze, altissimo onnipotente, creatore di tutte le cose, re di ciò ch'è sulla terra e di ciò ch'è nei cieli, delle cose visibili e delle invisibili ! tra queste cose noi pure fummo creati, opera anche noi delle tue mani e tua creatura : ed è ben giusto che la creatura canti la magnificenza del suo creatore. Noi siamo il fango, e tu colui che ci ha plasmati ; tu sei il nostro padre, noi i tuoi figli fatti a tua immagine e somiglianza. Se anche non sapemmo custodire questa nostra somiglianza con te, e ricevemmo la giusta mercede della nostra disubbidienza, tu ti degnasti di rinnovarci plasmandoci una seconda volta in maniera ancor più divina, per la tua misericordia, per il tramite del tuo Unigenito, nostro signore Gesù Cristo, e del tuo divino e santo Spirito ; e dalle tenebre dell'ignoranza ci conducesti alla conoscenza della tua verità, e noi che eravamo stranieri e pagani chiamasti ad essere eredi e rendesti partecipi dei doni paterni, dandoci in luogo di Israele il cristianesimo, in luogo dei profeti gli apostoli, in luogo dell'arca la Chiesa, in luogo di tenda e lucerna e anfora la intemerata e immacolata signora nostra, la Vergine, invece della manna di allora il tuo puro corpo e il tuo venerabile sangue, in luogo di Mosé e Aronne il tuo unigenito figlio e signore Gesù Cristo, in luogo della legge scritta da Dio il divino Vangelo della tua gloria, per l'osservanza dei suoi santi precetti. Ma, come allora era avvenuta la trasgressione della legge, anche noi poi errammo nei riguardi delle tue leggi evangeliche : pur essendo stati fin da fanciulli battezzati in tuo nome, cademmo poi in impurità e impuri siamo, tentati dal demonio, che cerca sempre la nostra rovina come un tempo cercava quella degli antichi trasgressori della legge. Tu però siici propizio, o Signore, perché da noi è invocato il suo nome, e noi

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

λαός σου ἡμεῖς καὶ πρόβατα νομῆς σου. Ὡς ὑπὸ τοῦ ἁγίου σου πνεύματος διδασκόμενοι, ὅτι «ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, σοί, τῷ κυρίῳ, [49] προσπίπτοντες ἐνώπιόν σου ἐξομολογοῦμεν καὶ λέγομεν τὴν ἐντροπὴν καὶ αἰσχύνην, τὴν καλύψασαν τὰ πρόσωπα ἡμῶν· ἐν ἀρχῇ τὴν πρώτην σου ἐντολὴν ὑπερβάντες ἐγενήθησαν μισάδελφοι καὶ φονεῖς, πλεονέκται καὶ συκοφάνται, ψεῦσται καὶ καταλάλοι, μάταιοι καὶ δόλιοι, ἄεργοι καὶ ἅρπαγες, κλέπται καὶ ἐπίορκοι, γαστρίμαργοι καὶ μέθυσοι, φθονεροὶ καὶ δίγλεπτοι, [50] δύστροποι καὶ ἀκάθαρτοι, ῥάθυμοι καὶ ἄδοξοι, ὀκνηροὶ καὶ ἀπρόθυμοι εἰς τὸ ἀγαθόν· καὶ ὅλα ἡμῶν τὰ μέλη τὴν ἀδικίαν μᾶλλον ἢ τὴν δικαιοσύνην εἰργάσαντο, ὅλα πηλώσαντες ἐβεβηλώσαμεν, (163 r) ὄμματα καὶ νοήματα, χείλη τε καὶ χεῖρας, παιδοφθορίαις καὶ ἀσελγείαις καὶ πᾶν ὅτι εἶδος τῆς πολυτρόπου καὶ δυσκρατήτου ἀκαθάρτου πορνείας διεπραξάμεθα. Ὡς ἐπιλαθόμενοι τοῦ φόβου σου, κύριε, ἐκωφώθημεν καὶ ἐταπεινώθημεν πράττοντες ἅπαν ἐνώπιόν σου ἁμάρτημα. Καὶ νῦν ἀνοῖξαι τὸ στόμα ἡμῶν, ἢ ὄμμα εἰς οὐρανὸν ἀτενίσαι, ἢ χείλη ἀνοῖξαι καὶ φθέγξασθαι συγχωρήσεως ῥῆμα· ἀληθῶς αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν καὶ ἠνομήσαμεν καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, ἵνα εὖ παρὰ σοῦ ἡμῖν γένηται· ἀλλὰ μὴ παραδῴης εἰς τέλος τῷ ἐχθρῷ ἀπολέσθαι διὰ τὸ χρηστόν εἰς ἡμᾶς ὄνομά σου καὶ μὴ διασκεδάσῃς, ἣν ἔσχες διαθήκην διὰ τῶν ἁγίων σου ἀποστόλων: «Οὐκ ἐάσω ὑμᾶς ὀρφανούς» ἐγκαταληφθῆναι [51]· ναί, δέσποτα, τῶν ἁγίων προφητῶν καὶ μαρτύρων καὶ ἀποστόλων καὶ ὁσίων δεήσεσι, καὶ τῶν ἁγίων ἐπουρανίων δυνάμεων καὶ τῆς παναχράντου μητρός σου δεήσεσι· σὺ γὰρ εἶπας, δέσποτα κύριε, «ὁ ζητῶν εὑρήσει» [52] πιστωθήτωσαν οἱ λόγοι σου, δέσποτα· Ἐλέησον ἡμᾶς, κύριε, δεῖξον, δέσποτα, ὡς ἀγαθὸς καὶ εἰς ἡμᾶς τὰ ἐλέη σου. Τοῦ λῃστοῦ τὸ μνήσθητί μου βοήσαντος, οἰκήτορα παραδείσου ἐποίησας· [53] καὶ ἡμῶν ὡς ἐκείνου μνήσθητι, ἅγιε. Τοὺς Νινευΐτας ἐλέησας, [54] καὶ ἡμᾶς ὡς ἐκείνους ἐλέησον.

[49] Ps. 91, 2.

[50] δί - βλεπτοι; (cf. δίγλωσσοι) = che intendono alla volta due cose opposte.

[51] Jo. 14, 18 (ἀφήσω).

[52] Mt. 7, 8 et Luc. 11, 10 (εὑρίσκει).

[53] Luc. 23, 42.

[54] Jon. 3, 10.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

siamo il tuo popolo, e le pecorelle del tuo gregge. Istruiti dal tuo santo Spirito che « è cosa buona confessarsi », a te prostrandoci, o Signore, al tuo cospetto confessiamo e proclamiamo il nostro pentimento e la vergogna che copre i nostri volti. Fin dall'inizio, la trasgressione del tuo primo comandamento ci fece divenire odiatori dei fratelli e assassini, avidi e delatori, mentitori e cianciatori, vani e fraudolenti, oziosi e rapaci, ladri e spergiuri, crapuloni e ubriaconi, invidiosi e doppi, caparbi e impuri, pigri e increduli, tardi e non solerti al bene. Tutte le nostre membra compirono atti ingiusti anziché giusti, ci infangammo tutti, profanammo i nostri occhi, il nostro animo, le nostre labbra, le nostre mani, e compimmo in gran copia corruzioni di fanciulli, atti licenziosi, impurità di ogni sorta, in varie forme e senza ritegno. Dimentichi del timor tuo, Signore, divenimmo sordi e miserabili, compiendo ogni sorta di peccati al tuo cospetto. Ma tu apri ora la nostra bocca, facci alzare gli occhi al cielo, e aprici le labbra a domandare perdono : siamo veramente divenuti una vergogna e una contumelia vivente, abbiamo calpestato le tue leggi, non abbiamo ascoltato i tuoi ammonimenti sì che potesse venirci bene da te ; ma tu non consegnarci per sempre al nemico, una volta giunta la nostra fine, sì che ci perdiamo, te ne preghiamo per il tuo nome propizio ; non disperdere il patto che facesti con noi tramite i tuoi santi Apostoli : « non vi lascerò orfani ». Sì, o Signore, per le preghiere dei santi profeti e apostoli e martiri e santi tutti, delle sante potenze celesti e di tua Madre, la purissima e inviolata ; tu stesso dicesti, Signore : « chi cerca troverà » ; le tue stesse parole ne siano testimoni. Abbi pietà di noi, Signore ; mostra a noi che sei buono, rivelaci la tua misericordia. Del ladrone che gridava « ricordati di me » facesti un abitatore del Paradiso : ricordati di noi come di lui, o Signore santo. Avesti pietà degli abitanti di Ninive : abbi ora pietà di noi come

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

Τὸν Δαυὶδ ἐπὶ δυσὶν ἁμαρτήμασι μετανοήσαντα οἰκτειρας, [55] ἐπὶ μυρίοις ἡμᾶς σφαλέντας καὶ δεομένους ὡς οἰκ(163 v)τίρμων ἐλέησον. Τὸν Μανασσῆ πολὺν ἐν ἀσωτείᾳ λαὸν ἀπολέσαντα διὰ μετανοίας οἰκτείρησας· [56] καὶ ἡμᾶς ὑπερμέτρως ἡμαρτηκότας ἐλέησον. Σύ, δέσποτα κύριε, καὶ τὴν Σαμαρεῖτιν ἐζήτησας σωθῆναι [57] καὶ τὴν ἄσωτον πόρνην [58] τοῖς ποσί σου προσπεσοῦσαν, εἰ καὶ μεμολυσμένην ὡς κύνα ὄζουσαν, μὴ ἀποστρέψας ἠλέησας· καὶ ἡμᾶς ὑπὲρ αὐτὴν βεβορβορωμένους ὄντας οἰκτείρησον, εὔσπλαγνε. Τῷ Σίμωνι φαρισαίῳ συνεδείπνησας [59] καὶ τὸν τελώνην διὰ στεναγμοῦ προσδεξάμενος ἠλέησας, [60] τοῦ πολλὰ ἡμαρτηκότος ἐνώπιόν σου τὸ σῶμα καὶ τὴν ψυχήν, ἔλεος, «σωτηρία» καὶ εἰρήνη, ἔφης, «τῷ οἴκῳ τούτῳ ἐγένετο» [61]· καὶ ἡμᾶς, μακρόθυμε, τῆς ἀμφοτέρων, σωτηρίας καὶ συμπαθείας ἀξίωσον. Ὁ πρὸ τούτων καὶ μετὰ τούτων καὶ ἕως νυνὶ ἀναριθμήτους φονεῖς καὶ μοιχοὺς καὶ λῃστὰς καὶ πόρνους καὶ ἀσώτους καὶ ἀπίστους εἰς πίστιν προσδεξάμενος, καὶ ἡμᾶς ὡς οἰκτίρμων προδεξάμενος οἰκτιρον καὶ ἄφες ἡμῖν τὰ ἐπ' ἔργῳ καὶ λόγῳ καὶ γνώσει καὶ ἀγνοίᾳ καὶ ἐνθυμήσει ἁμαρτήματα. Ὁ τοῦ Πέτρου τὸν στεναγμὸν καὶ τὰ δάκρυα [62] ὡς οἶκτος προσδεξάμενος καὶ ἡμῶν πάντων τὰς ἱκεσίας ἐν ἐξομολογήσει καὶ δεήσεις εἰς ἄφεσιν ἁμαρτημάτων πρόσδεξαι. Ὁ τοῦ τυφλοῦ τὰ ὄμματα φωτίσας [63] (164 r) ἡμᾶς τοὺς ἐν σκότει τῆς ἀνομίας πορευομένους φώτισον τῇ δωρεᾷ τοῦ ἁγίου σου πνεύματος, κύριε. Ὁ τοῖς κωφοῖς ἀκοὴν καὶ μογιλάλοις λαλεῖν δωρησάμενος τὰς ἡμῶν ἀκοὰς καὶ τὰ ὄμματα εἰς τὸ δέξασθαι τὰς ἐντολάς σου καὶ εἰς τὴν σὴν εὐχαριστίαν δίδαξον ["Ος τότε ἔσωσας πλείστους] ἐν τῇ κολυμβήθρᾳ παραλύτους [64] καὶ τὸν υἱὸν ἑκατοντάρχου ὁμοίως θεραπεύσας, [65]

[55] II Reg. 12, 9.
[56] II Paral. 33, 12.
[57] Jo. 4, 7 sgg.
[58] Luc. 7, 38.
[59] Luc. 7, 36.
[60] Luc. 18, 14.
[61] Luc. 19, 9.
[62] Mt. 26, 75.
[63] Jo. 9, 7.
[64] Jo. 5, 3 sgg.
[65] Mt. 7, 6.

ASSOC. NAZ. PER GLI INTERESSI MEZZOGIORNO D'ITALIA BIBLIOTECA Giustino Fortunato

di quelli. Avesti pietà di Davide, che faceva penitenza per espiare due gravi colpe ; abbi pietà di noi, che vacilliamo sotto il peso di infinite colpe, e ti preghiamo di perdonarci per la tua misericordia. Avesti pietà di Manasse, che con le sue azioni sciagurate aveva rovinato tutto un popolo, vedendo il suo pentimento ; abbi pietà di noi, che abbiamo smisuratamente errato. Cercasti tu stesso, Signore, di salvare la samaritana, e non respingesti lungi da te la sciagurata prostituta prostrata ai tuoi piedi, anche se era fetida come un cane rognoso ; abbi pietà anche di noi, che siamo più impuri di lei, o misericordioso. Partecipasti alla mensa di Simone il fariseo, e accogliendo il pubblicano per il suo lamento, ne avesti pietà, benché avesse molto peccato al tuo cospetto con l'anima e col corpo ; misericordia e « salvezza » e pace, come tu dicesti, « venne a quella casa » ; degna anche noi, o misericordioso, di entrambe queste cose, salvezza e pietà. Tu che finora hai mostrato di accogliere nella tua fede, prima di questi e con questi stessi, infiniti assassini e adulteri e ladri e impudichi e sciagurati e increduli, accogliendo misericordiosamente noi pure abbi pietà e misericordia di noi, e perdonaci tutti i peccati commessi in opere, parole, pensieri, senza intenzione o in piena coscienza. Tu che hai accolto con misericordia il lamento e le lacrime di Pietro, accogli anche le suppliche di tutti noi che riconosciamo le nostre colpe, accogli le nostre preghiere in remissione dei peccati. Tu che hai illuminato gli occhi del cieco, illumina noi che erriamo nelle tenebre della malvagità col dono del tuo Spirito Santo, o Signore. Tu che hai concesso ai sordi di udire, ai muti di parlare, insegna alle nostre orecchie e ai nostri occhi ad accogliere i tuoi precetti e a ringraziarti. Tu che allora salvasti moltissimi che giacevano paralizzati nella piscina, e che guaristi pure il figlio del centurione, guarisci per il nostro sincero pentimento anche noi

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

λαός σου ἡμεῖς καὶ πρόβατα νομῆς σου. Ὡς ὑπὸ τοῦ ἁγίου σου πνεύματος διδασκόμενοι, ὅτι «ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, σοί, τῷ κυρίῳ,» [49] προσπίπτοντες ἐνώπιόν σου ἐξομολογοῦμεν καὶ λέγομεν τὴν ἐντροπὴν καὶ αἰσχύνην, τὴν καλύψασαν τὰ πρόσωπα ἡμῶν· ἐν ἀρχῇ τὴν πρώτην σου ἐντολὴν ὑπερβάντες ἐγενήθημεν μισάδελφοι καὶ φονεῖς, πλεονέκται καὶ συκοφάνται, ψεῦσται καὶ καταλάλοι, μάταιοι καὶ δόλιοι, ἄεργοι καὶ ἅρπαγες, κλέπται καί ἐπίορκοι, γαστρίμαργοι καὶ μέθυσοι, φθονεροὶ καὶ δίγλεπτοι, [50] δύστροποι καὶ ἀκάθαρτοι, ῥάθυμοι καὶ ἄδοξοι, ὀκνηροὶ καὶ ἀπρόθυμοι εἰς τὸ ἀγαθόν· καὶ ὅλα ἡμῶν τὰ μέλη τὴν ἀδικίαν μᾶλλον ἢ τὴν δικαιοσύνην εἰργάσαντο, ὅλα πηλώσαντες ἐβεβηλώσαμεν, (163 r) ὄμματα καὶ νοήματα, χείλη τε καὶ χεῖρας, παιδοφθορίαις καὶ ἀσελγείαις καὶ πᾶν ὅ τι εἶδος τῆς πολυτρόπου καὶ δυσκρατήτου ἀκαθάρτου πορνείας διεπραξάμεθα. Ὡς ἐπιλαθόμενοι τοῦ φόβου σου, κύριε, ἐκωφώθημεν καὶ ἐταπεινώθημεν πράττοντες ἅπαν ἐνώπιόν σου ἁμάρτημα. Καὶ νῦν ἀνοῖξαι τὸ στόμα ἡμῶν, ἢ ὄμμα εἰς οὐρανὸν ἀτενίσαι, ἢ χείλη ἀνοῖξαι καὶ φθέγξασθαι συγχωρήσεως ῥῆμα· ἀληθῶς αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν καὶ ἠνομήσαμεν καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, ἵνα εὖ παρὰ σοῦ ἡμῖν γένηται· ἀλλὰ μὴ παραδῴης εἰς τέλος τῷ ἐχθρῷ ἀπολέσθαι διὰ τὸ χρηστὸν εἰς ἡμᾶς ὄνομά σου καὶ μὴ διασκεδάσῃς, ἣν ἔσχες διαθήκην διὰ τῶν ἁγίων σου ἀποστόλων: «Οὐκ ἐάσω ὑμᾶς ὀρφανούς» ἐγκαταλειφθῆναι [51]· ναί, δέσποτα, τῶν ἁγίων προφητῶν καὶ μαρτύρων καὶ ἀποστόλων καὶ ὁσίων δεήσεσι, καὶ τῶν ἁγίων ἐπουρανίων δυνάμεων καὶ τῆς παναχράντου μητρός σου δεήσεσι· σὺ γὰρ εἶπας, δέσποτα κύριε, «ὁ ζητῶν εὑρήσει»· [52] πιστωθήτωσαν οἱ λόγοι σου, δέσποτα. Ἐλέησον ἡμᾶς, κύριε, δεῖξον, δέσποτα, ὡς ἀγαθὸς καὶ εἰς ἡμᾶς τὰ ἐλέη σου. Τοῦ λῃστοῦ τὸ «μνήσθητί μου» βοήσαντος, οἰκήτορα παραδείσου ἐποίησας· [53] καὶ ἡμῶν ὡς ἐκείνου μνήσθητι, ἅγιε. Τοὺς Νινευΐτας ἐλέησας, [54] καὶ ἡμᾶς ὡς ἐκείνους ἐλέησον.

[49] Ps. 91, 2.

[50] δί - βλεπτοι (cf. δίγλωσσοι) = che intendono alla volta due cose opposte.

[51] Jo. 14, 18 (ἀφήσω).

[52] Mt. 7, et Luc. 11, 10 (εὑρίσκει).

[53] Luc. 23, 42.

[54] Jon. 3, 10.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ISTITUTO NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA BIBLIOTECA Fortunato

Τὸν Δαυὶδ ἐπὶ ὕσιν ἁμαρτήμασι μετανοήσαντα οἰκτειρας· [55] ἐπὶ μυρίοις ἡμᾶς σφαλέντας καὶ δεομένους ὡς οἰκ(163 v)τίρμων ἐλέησον. Τὸν Μανασσῆ πολὺν ἐν ἀσωτείᾳ λαὸν ἀπολέσαντα διὰ μετανοίας οἰκτείρησας· [56] καὶ ἡμᾶς ὑπερμέτρως ἡμαρτηκότας ἐλέησον. Σύ, δέσποτα κύριε, καὶ τὴν Σαμαρεῖτιν ἐζήτησας σωθῆναι [57] καὶ τὴν ἄσωτον πόρνην [58] τοῖς ποσί σου προσπεσοῦσαν, εἰ καὶ μεμολυσμένην ὡς κύνα ὄζουσαν, μὴ ἀποστρέψας ἠλέησας· καὶ ἡμᾶς ὑπὲρ αὐτὴν βεβορβορωμένους ὄντας οἰκτείρησον, εὔσπλαγχνε. Τῷ Σίμωνι φαρισαίῳ συνεδείπνησας [59] καὶ τὸν τελώνην διὰ στεναγμοῦ προσδεξάμενος ἠλέησας, [60] τοῦ πολλὰ ἡμαρτηκότος ἐνώπιόν σου τὸ σῶμα καὶ τὴν ψυχήν, ἔλεος, « σωτηρία » καὶ εἰρήνη, ἔφης, « τῷ οἴκῳ τούτῳ ἐγένετο » [61]· καὶ ἡμᾶς, μακρόθυμε, τῆς ἀμφοτέρων, σωτηρίας καὶ συμπαθείας ἀξίωσον. Ὁ πρὸ τούτων καὶ μετὰ τούτων καὶ ἕως νυνὶ ἀναριθμήτους φονεῖς καὶ μοιχοὺς καὶ λῃστὰς καὶ πόρνους καὶ ἀσώτους καὶ ἀπίστους εἰς πίστιν προσδεξάμενος, καὶ ἡμᾶς ὡς οἰκτίρμων προδεξάμενος οἰκτιρον καὶ ἄφες ἡμῖν τὰ ἐπ' ἔργῳ καὶ λόγῳ καὶ γνώσει καὶ ἀγνοίᾳ καὶ ἐνθυμήσει ἁμαρτήματα. Ὁ τοῦ Πέτρου τὸν στεναγμὸν καὶ τὰ δάκρυα [62] ὡς οἶκτος προσδεξάμενος καὶ ἡμῶν πάντων τὰς ἱκεσίας ἐν ἐξομολογήσει καὶ δεήσεις εἰς ἄφεσιν ἁμαρτημάτων πρόσδεξαι. Ὁ τοῦ τυφλοῦ τὰ ὄμματα φωτίσας [63] (164 r) ἡμᾶς τοὺς ἐν σκότει τῆς ἀνομίας πορευομένους φώτισον τῇ δωρεᾷ τοῦ ἁγίου σου πνεύματος, κύριε. Ὁ τοῖς κωφοῖς ἀκοὴν καὶ μογιλάλοις λαλεῖν δωρησάμενος τὰς ἡμῶν ἀκοὰς καὶ τὰ ὄμματα εἰς τὸ δέξασθαι τὰς ἐντολάς σου καὶ εἰς τὴν σὴν εὐχαριστίαν δίδαξον [Ὃς τότε ἔσωσας πλείστους] ἐν τῇ κολυμβήθρᾳ παραλύτους [64] καὶ τὸν υἱὸν ἑκατοντάρχου ὁμοίως θεραπεύσας, [65]

[55] II Reg. 12, 9.
[56] II Paral. 33, 12.
[57] Jo. 4, 7 sgg.
[58] Luc. 7, 38.
[59] Luc. 7, 36.
[60] Luc. 18, 14.
[61] Luc. 19, 9.
[62] Mt. 26, 75.
[63] Jo. 9, 7.
[64] Jo. 5, 3 sgg.
[65] Mt. 7, 6.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ISS. NAZ. PER GLI INTERESSI
BIBLIOTECA
Fortunato
DEL MEZZOGIORNO D'ITALIA

καὶ ἡμᾶς ἐν ἁμαρτίαις πολυχρονίως κλινοκοιμοῦντας δι' ἀληθοῦς μετανοίας θεράπευσον, εὔσπλαγχνε. Ὁ τοὺς λεπροὺς θεραπεύσας [66] καὶ ἡμῶν τὰ λελεπρωμένα ταῖς ἡδοναῖς σώματα ἴασαι. Ὁ τὸν ὑδρωπικὸν ὑγιάνας [67] καὶ ἡμῶν τὸ ὑγρῶδες τῶν ἁμπλακημάτων ἐκκάθαρον, δέσποτα κύριε ὁ θεὸς ἡμῶν. Ὁ τὴν θυγατέρα Ἰαείρου [68] καὶ τὸν τῆς χήρας υἱὸν ἐκ νεκρῶν ἀναστήσας [69] καὶ ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἐν ἁμαρτίαις νεκρωθέντα ζωοποίησον, κύριε Ἰησοῦ Χριστέ. Ὁ ἐν τῇ ἁγίᾳ σου προσευχῇ [συμπαθήσας] καὶ [ἐνθαρ]ρύνας ὑπὲρ πάσης ἀνθρωπότητος [70] καὶ τὸν ὀδωδότα τεταρταῖον Λάζαρον τῇ τριαδικῇ ἐπικλήσει φωνήσας καὶ ἐκ νεκρῶν ἀναστήσας, [71] ὡσαύτως καὶ τοὺς ἀπὸ βρέφους ἐν ἁμαρτίαις τεθανατωμένους καὶ ἐν τῷ τῆς ἀπογνώσεως ἀμελείας τάφῳ κειμένους καὶ ὁλομελῆ σεσηπότων καὶ ἀνεικάστως βρωμούντων πάντας ὡς ἐκεῖνον συμπαθείας ἀξίωσον, ὅτι ἐλεήμων καὶ οἰκτίρμων ὑπάρχεις, μακρόθυμος καὶ πολυέλεος, καὶ παρὰ σοῦ τὸ ἔλεος αἰτοῦμεν ἐν τῷ παρόντι καὶ μέλλοντι· σὺ γὰρ εἶπας, κύριε, (164 v) ὅτι «ὁ ζητῶν εὑρήσει καὶ τῷ κρούοντι ἀνοιγήσεται», [72] καὶ «τὸν ἐρχόμενον πρός με μὴ ἐκβάλω ἔξω». [73] Δόξα τῇ εὐσπλαγχνίᾳ σου, δόξα τῇ μακροθυμίᾳ σου, δόξα τῇ σῇ χρηστότητι καὶ ἀνεικάστῳ φιλανθρωπίᾳ, ὅτι «πάντας θέλεις σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν», [74] καὶ σοὶ τὴν δόξαν καὶ προσκύνησιν ἀναπέμπομεν τῷ προανάρχῳ πατρὶ καὶ τῷ συνανάρχῳ υἱῷ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

II.

Τοῦ αὐτοῦ, περὶ τοῦ μετὰ φόβου τὴν εἰσέλευσιν καὶ τὴν στάσιν ἐν τῇ θεία ἔχειν ἡμᾶς ἐκκλησίᾳ, ὁμοίως καὶ ἁγίας ἱερουργίας, καθὼς αἱ τῶν θείων προφητῶν παραινέσεις διακελεύονται.

Ὑπομνήσωμεν ὡς χρεῶσται καὶ τοῦτο ἐν πρώτοις τοὺς σε-

[66] Luc. 17, 14.
[67] Luc. 14, 2.
[68] Mc. 5, 22.
[69] Luc. 7, 15.
[70] Il senso è: ... incoraggiato Marta e Maria ed in sette tutta l'umanità.
[71] Jo. 11, 41.
[72] Mt. 7, 8.
[73] Jo. 6, 37.
[74] I Tim. 2, 4.

ASSOC. NAZ. PER GLI INTERESSI
BIBLIOTECA
Giustino Fortunato
DEL MEZZOGIORNO D'ITALIA

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

βασμίους ἱερεῖς καὶ ἐπὶ τὸν λαὸν [τοῦ Χριστοῦ] κυρίου τοῦ σωτῆρος ἡμῶν μετὰ φόβου, τέκνα καὶ ἀδελφοί, τὴν εἰσέλευσιν καὶ τὴν στάσιν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ ἔξομεν. Ἐν αὐτῇ γὰρ τὸ πανάγιον πνεῦμα διὰ τοῦ Δαυὶδ ἐγκελεύεται, « τὸν θεὸν εὐλογεῖτε ἐν ἐκκλησίαις, φησίν, εὐλογεῖτε τὸν κύριον » [75] τὸν δὲ εἰσερχόμενον ὁ αὐτὸς λέγειν διδάσκει, « εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου ». [76] Ἀκουέτωσαν ἐν ὑπεροψίᾳ καὶ ἀφοβίᾳ ἐν αὐτῇ (165 r) αὐθαδῶς εἰσερχόμενοι, ἀκουέτωσαν οἱ ἐν ὑπερηφανίᾳ καὶ πολυλογίᾳ μετὰ ῥάβδων ἐν αὐτῇ στήκοντες· ἆρα ταῦτα εἰς τὸν θνητὸν ἐπὶ γῆς βασιλεύοντα οὕτως παράστανται, [77] ἆρα καὶ ἐν τοῖς δικαστηρίοις τῶν οὐκ ἐνδίκων [78] δικαστῶν οἱ ὑπεύθυνοι καταφρονητικῶς στήκωσιν; Καὶ ταῦτα οὐ μόνον εἰς κοσμικοὺς ἰδιώτας λέγομεν, ἀλλὰ καὶ εἰς αὐτοὺς τοὺς ἔχοντας τὴν τάξιν [79] ἀτάκτους. Συνήσωμεν καὶ νοήσωμεν καὶ ἑαυτούς, ἀδελφοί, κατακρίνωμεν, τοῦ Δαυὶδ συνεχῶς εἰς τὸν οἶκον τῆς προσευχῆς ἐγκελευομένου, [80] ἡμεῖς ἀπὸ καιροῦ εἰς καιρὸν εἰσερχόμενοι ἀμελῶς καὶ μετὰ ἀφοβίας ὥσπερ ἔφημεν, μετὰ καταφρονήσεως στήκομεν. Σκοπήσωμεν ποῦ εἰσερχόμεθα καὶ πῶς παριστάμεθα. Ἐκκλησία, ὄρος ἅγιον, οἶκος θεοῦ, σκήνωμα ἠγαπημένον θεοῦ, θρόνος ἀρχιερέως Χριστοῦ. Τὸ λοιπὸν σκοπείτωσαν οἱ ἀναιδῶς ἐν αὐτῇ ἑστηκότες τὸν ἐπὶ θρόνου καθήμενον βασιλέα καὶ κύριον· περὶ αὐτοῦ γάρ, φησιν, Ἡσαΐας βοᾷ, « χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες παριστάμεναι, τοῦτο αὐτοφθαλμῆσαι οὐ δύνανται, ἀλλὰ ταῖς πτέρυξι κεκαλυμμένα τὰ πρόσωπα ἔχουσαι, εὐτάκτως αἱ τάξεις τὸν τρισάγιον ἀναμέλπουσιν ὕμνον » [81] · ἐνταῦθα δὲ σὺν τοῖς ἀγνώστοις κοσμικοῖς καὶ οἱ πολλοὶ τῶν ἱερέων ἀμελῶς μετὰ καταφρονήσεως καὶ ἐν νωθρότητι στήκοντες οὐ σκοποῦσι τὸ χρεωστούμενον. Καὶ οὐ μόνον ἐν ἑωθιναῖς καὶ ἑσπεριναῖς λατρείαις τοῦτο εἰώθασιν, ἀλλὰ καὶ ἐν τῇ φρικτῇ καὶ θείᾳ (165 v) μυσταγωγίᾳ, ἐν τῷ ἁγίῳ

[75] Ps. 67, 27.
[76] Ps. 5, 8.
[77] = παρίστανται.
[78] Senza parzialità : Du Cange, Glossar. Infim. graec. adv
[79] = dignità.
[80] Ps. 95, 8.
[81] Is. 6, 2-3.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA BIBLIOTECA Giustino Fortunato

παρεστηκότες θυσιαστηρίῳ ὧδε κἀκεῖσε περισκοποῦσι καὶ τοὺς ὀφθαλμοὺς καὶ τὸν νοῦν ἔχοντες ἑτέρωθι, οὐ σκυνοῦσι [82] τὸν ἐπὶ θρόνου καθήμενον. « Φεῖσαι, κύριε », [83] δεηθῶμεν καὶ εἰς τὸ ἑξῆς διδαχθῶμεν ἱερεῖς τε καὶ λαός. Νοεῖτε, τέκνα, τὴν ἰδίαν τάξιν, σκοπήσωμεν ἕκαστος τίνος ἕνεκεν εἰς τὴν ἐκκλησίαν ἐρχόμεθα, εἰ ὁ Σαβαὼθ κύριος ἐν αὐτῇ οὐχ ὑπάρχει καὶ ὁ ἐν οὐρανοῖς ὑπὸ τῶν ἀΰλων δυνάμεων λατρευόμενος ἐν τῇ γῇ ὑπὸ τῶν ἐνύλων ἱερέων ἐν τῇ ἐκκλησίᾳ κατέχεται καὶ νοητῶς συνυπάρχει. Σκοπήσωμεν τὴν ἡμῶν πρὸς αὐτὸν εἰσέλευσιν καὶ στάσιν· ἀκούσωμεν καὶ περὶ τούτου τῆς θείας τοῦ προφήτου διδασκαλίας, « ἐνέγκατε τῷ κυρίῳ, υἱοὶ θεοῦ, ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν, ἄρατε θυσίας καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ ». [84] Συνήσωμεν, τέκνα καὶ ἀδελφοί, ποίαν ἡμεῖς τιμὴν τῷ κυρίῳ προσφέρομεν, θυσίας ποίας εἰς τὰς αὐλὰς αὐτοῦ προσκομίζομεν· αὐλαὶ γὰρ τῆς Ἱερουσαλὴμ μεγάλης ἐκκλησίας αἱ ἁπανταχοῦ τῆς οἰκουμένης τοῦ θεοῦ ἐκκλησίαι. Ἄρατε θυσίας καὶ εἰσπορεύεσθε εἰς τὰς [αὐλὰς] [85] αὐτοῦ εἰσερχόμενοι· ἡμεῖς ἐν τῇ ἐκκλησίᾳ προσφέρομεν γέλωτας, ἐρεσχελίας, γελοιασμούς, ὑψαυχενία,ς ψιθυρισμοὺς καὶ τὰ ὅμοια. Οἴμοι, τέκνα, ποῦ ἑτέρωθι τὴν ἡμετέραν σωτηρίαν πεποίθαμεν, διὰ τὰς βιωτικὰς φροντίδας ἀπὸ καιροῦ (166 r) εἰς καιροὺς ἐν τῇ ἐκκλησίᾳ ἐρχόμενοι εὑρισκόμεθα, οἱ μὲν ἐντὸς τοῦ σώματος ὄντες εἰς τὰ ἔξω σὺν τοῦ νοὸς καὶ τοῖς ὀφθαλμοῖς σκοποῦμεν, ἕτεροι ἔξω περὶ τῶν βιωτικῶν μεγαλοφώνως μαχόμενοι, τοῦ διακόνου « στῶμεν ἐν φόβῳ » [86] ἀκοῦσαι οὐ βούλονται.

Σκοπεῖτε, ἀδελφοί, καὶ τῶν ἑξῆς ἀκουτιζόμενοι μάθετε· « ἄρατε θυσίας », φησί· ποίας ἄρα θυσίας λέγει; Οὐ βόας καὶ πρόβατα προτρέπει, οὐ χιμαρροὺς καὶ μόσχους, ὡς ἐκεῖ πρότερον, ἀλλ' ὡς διδάσκει τὸ ἅγιον πνεῦμα διὰ τοῦ Δαυΐδ, « θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουθενώσει ». [87] Τοιαύτας θυσίας προσενέγκωμεν τῷ

[82] sic ! = προσκυνοῦσι.
[83] Joël 2, 17.
[84] Ps. 95, 7-8.
[85] αὐλὰς om. Cod.
[86] Liturg. s. Jo. Chrys., ante Praefat. : στῶμεν μετὰ φόβου.
[87] Ps. 50, 19.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

θεῷ, παρακαλῶ, ἀδελφοί· μηδεὶς ἐν ὑψηλοφροσύνῃ καὶ ὑπερηφανίᾳ, ἐν ἀταξίᾳ καὶ ἀφοβίᾳ ἐν τῷ ἐπὶ γῆς οὐρανῷ, λέγω δὴ ἐν τῇ ἐκκλησίᾳ, στηκέτω, ἵνα μὴ ὡς ὑπερόπτης καὶ αὐθάδης βδελυχθεὶς παρὰ τῶν θείων ἀγγέλων· ἐν φόβῳ καὶ αἰδῷ τὴν πᾶσαν ὥραν ἐν τῇ ἐκκλησίᾳ ἐσόμεθα, λέγω δὴ ἐν ὀρθριναῖς καὶ ἑσπεριναῖς λατρείαις, τὸ δὲ μεῖζον ἐν τῇ θείᾳ ἱερουργίᾳ ἐσόμεθα· ἀλλ' ἐν τῷ ἑτέρῳ λόγῳ περὶ τῆς θείας μεταλήψεως τῶν φρικτῶν μυστηρίων, τοῦ ἁγίου πνεύματος ἡμᾶς ὁδηγοῦντος περὶ τῶν δεόντων ἐσόμεθα. Τανῦν δὲ ὑμᾶς ὑπομνήσκομεν, μηδεὶς ἑαυτὸν τῆς ἐκκλησίας ἀποστερήσει καὶ τῆς τοῦ θεοῦ εὐφροσύνης ἀποχωρίσει· «ἐγγίσατε κἀμοί, φησὶ κύριος, καὶ ἐγγιῶ ὑμῖν»[88], καὶ ὁ Δαυΐδ, «ἄρατε θυσίας καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ».[89] Χάριν τῷ δοτῆρι[90] καὶ σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ, ὅτι καὶ ὑμεῖς οὐ διαλιμπάνετε τὸ κατὰ δύναμιν καρποφοροῦντες εὐλογίας[91], λυχναψίας, ὁμοίως καὶ τὰς τῶν ἁγίων μνείας (166 v) ἐπιτελοῦντες καὶ ἄρτον·[92] λέγει γὰρ ὁ διδάσκαλος «μὴ ὀφθήσῃ καλός»,[93] οὐ χρείαν ἔχουσιν ἐκεῖνοι τὰ παρ' ἡμῶν, ἀλλ' ἡμεῖς τὰ παρ' ἐκείνων αἰτούμενοι τούτοις δουλεύομεν»· δίκαιον καὶ θεῷ εὐαπόδεκτον τὸ δωρεῖσθαι καὶ «καρποφορεῖν ἐν ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίας» ἐκ πάντων τῶν ἐκ θεοῦ ἡμῖν χορηγουμένων, ὁμοίως καὶ «τῶν πενήτων μεμνῆσθαι» καὶ τῶν ἱερέων καὶ πατέρων καὶ διδασκάλων ὑμῶν ἐκδουλεύειν· αὐτοὶ γὰρ ἐν τῇ θείᾳ κολυμβήθρᾳ ἀναγεννῶσιν καὶ τῷ λόγῳ τῆς θείας χάριτος τρέφουσι καὶ ἐν τῇ ἐκκλησίᾳ παρακαλῶσι καὶ μετὰ θάνατον πατέρες φιλότεκνοι καί φιλόστοργοι διὰ λειτουργίας καὶ φώτων καὶ ψαλμῳδίας καὶ πολλῶν προσευχῶν προπέμπουσί τε καὶ ταφῇ παραδίδωσι· καὶ τίς ἄλλος εἰ μὴ αὐτοὶ τριτοέννατα καὶ σαρακοστὰ καὶ χρόνια[94] πρὸς τὸν θεὸν δεόμενοι λιτανεύουσιν; Ἄξιον τούτους

[88] Jac. 4, 8.

[89] Ps. 95, 8.

[90] II Cor. 8, 16 : χάρις τῷ θεῷ τῷ διδόντι.

[91] Beneficate portando dei doni.

[92] Offrendo anche pane (προσφορά) per la messa.

[93] Mt. 6, 1.

[94] Accenni alla liturgia : καρποφορεῖν, dall'actenia dopo il vangelo ; πενήτων μεμνῆσθαι, alla fine dell'anaphora ; τριτοέννατα etc. ufficio per i defunti al terzo, nono, 40 giorno e all'anniversario della morte ; φώτων come più sopra λυχναψίας, l'uso di accendere lumicini in onore dei santi ovvero sulla tomba nel cimitero.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA BIBLIOTECA Giustino Fortunato

οὐ μόνον τιμᾶν καὶ δουλεύειν, ἀλλ' ὡς δούλους τοῦ μεγάλου ποιμένος Χριστοῦ ὡς ἀγγέλους κυρίου αἰδεῖσθαι καὶ ὡσεὶ πῦρ εὐλαβεῖσθαι. Μᾶλλον ἐν τῇ φρικτῇ ὥρᾳ τῆς θείας μυσταγωγίας τῷ σωτῆρι λαμπραῖς ὀθόναις παρισταμένους ὡς οὐρανίους κατανοήσωμεν λειτουργούς· δι' αὐτῶν γὰρ τῷ ἀρχιερεῖ Χριστῷ αἱ θυσίαι ὑμῶν καὶ αἱ προσευχαὶ ἀναφέρονται, ἐὰν ἐν καθαρῷ συνειδότι καὶ μετὰ πίστεως ταύτας προσφέρωμεν. «Ἄρατε θυσίας», [95] φησὶν ἡμᾶς αὐτοὺς ὁ προφήτης, ὑπὲρ τὰς ἀλόγους θυσίας προσφέρειν νοήσωμεν. «Θυσία τῷ θεῷ, ὁ Δαυὶδ φησί, (167 r) πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουθενώσει», [96] ἀλλ' ἐλεήσει καὶ οἰκτειρήσει καὶ ψυχικῆς καὶ σωματικῆς ἀξιώσει εὐετηρίας καὶ τῆς ἐκεῖ τῶν ἁγίων μεγάλης καὶ λαμπρᾶς ἁγίας ἐκκλησίας κοινωνοὺς [97] ἀναδείξει ὁ καλὸς ἡμῶν ποιμὴν καὶ σωτὴρ Ἰησοῦς Χριστός, ὁ σὺν πατρὶ καὶ ἁγίῳ πνεύματι προσκυνούμενος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

III.

Τοῦ αὐτοῦ εἰς ἑκάστην ἑορτὴν ἀνάμνησις ἐν τῇ ὥρᾳ τῆς θείας μεταλήψεως τῶν θείων τοῦ Χριστοῦ μυστηρίων, μετὰ τὸ εἰπεῖν τὸν διάκονον «προσέλθατε τῷ Χριστῷ τῷ βασιλεῖ καὶ θεῷ» καὶ μετὰ τὸ εἰπεῖν τὸν λαόν «εὐλογημένος ὁ ἐρχόμενος».

Ὅσοι τὰ ὄμματα καὶ τὰ νοήματα ὀρθὰ ἐν τῇ θείᾳ ἔχετε ἐκκλησίᾳ, μᾶλλον εἰς τὸν ἐν αὐτῇ ὑπὸ τῶν θείων ἱερέων θυόμενον καὶ μετὰ φόβου καὶ πίστεως τοῖς θείοις αὐτοῦ ἐλθεῖν μυστηρίοις ἠκούσατε, δεῦτε ἴδωμεν τὸν τοῦ θεοῦ ἀμνὸν ὑπὲρ ἡμῶν θυόμενον καὶ διὰ τῶν ἱερέων ἐγκελευόμενον «λάβετε, φάγετε· γεύσασθε, [98] πίετε». Ὦ τῆς ἀφράστου οἰκονομίας σου, κύριε· σοῦ προσκαλουμένου, παρακουόντων ἡμῶν ἀνέχει ὁ εὔσπλαγχνος. «Λάβετε, φάγετε». Νοήσωμεν, τέκνα καὶ ἀδελφοί, τίνος ταῦτα λέγει· πάντων τῶν μαθητῶν αὐτοῦ καὶ φίλων, φίλοι δὲ αὐτοῦ οἱ τῶν αὐτοῦ προσταγμάτων ἐκπληρωταί, καθὼς αὐτὸς ὁ σωτὴρ ἐντέλλεται λέγων

[95] Ps. 95, 7.
[96] Ps. 50, 19.
[97] κοινούς Cod.
[98] γεύσασθε non s'incontra nei testi liturgici odieni.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

« ὑμεῖς φίλοι μου ἐστέ, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν ». [99] Ἡμῶν δὲ τῶν ἁμαρτωλῶν καὶ ἀθλίων, τὰς αὐτοῦ ἐντολὰς ἐν ταῖς (167 v) βιωτικαῖς ἀεὶ φροντίσι καταφρονοῦντες καὶ ταῖς ἁμαρτίαις κατασπιλωθεῖσι καὶ ἀσυνέτως ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ ἱστάμενοι, ὡς κατάκριτοι ὄντες, [100] τέως τῆς διδασκαλίας παρακοῦσαι οὐ δίκαιον. Ἀκούσωμεν πάλιν τῆς μακαρίας τοῦ θυομένου φωνῆς, « λάβετε, φάγετε τοῦ ὑπὲρ ὑμῶν θυομένου μου σώματος, γεύσασθε καὶ πίετε τοῦ ὑπὲρ ὑμῶν ἐκχυθέντος μου αἵματος ». Ταῦτα τοῦ ἱερέως ἐκ προσώπου τοῦ σωτῆρος προτρεπομένου, ἀκούσωμεν καὶ τοῦ διακόνου τοῦ αὐτοῦ λόγου, μᾶλλον δὲ διδασκάλου, τὰ ἐκφωνούμενα · « δοκιμαζέτω ἕκαστος ἑαυτὸν καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω » [101] Δοκιμαζέτω φησί, τουτέστι σκοπείτω ἕκαστος μὴ ἐν μολυσμῷ ἀσελγείας ἢ ἄλλης οἱασοῦν ἁμαρτίας ὑπάρχων, τολμήσῃ τῶν θείων καὶ φοβερῶν μυστηρίων, πρὶν ἑαυτὸν δι' ἐξομολογήσεως καὶ μετανοίας ἐκκαθαίρῃ. Δοκιμάζομεν ἑαυτοὺς ἡμεῖς ; Φεῦ τοῦ σατανᾶ τοῦ πλάνου καὶ ἐργάτου τοῦ φθόνου καὶ πάσης κακίας, φανεροὶ ἐν μάχαις, ἐν ἁμαρτίαις ὑπάρχοντες, δρομαίως καταφρονητικῶς μεταλαμβάνομεν, μὴ ἀκούοντες τῆς λεγούσης διδασκαλίας, « καθαρίσωμεν ἑαυτοὺς βοῶσαν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος ». [102] Νοήσωμεν δὲ τὴν τοιαύτην παραίνεσιν . σαρκὸς λέγει τὰς ἐκ τῶν ἡμετέρων σωμάτων τικτομένας ἁμαρτίας, πνεύματος δὲ τοῦ πνέοντος ἐν ἡμῖν μάχας καὶ ὀργὰς καὶ παροργισμούς · τοῦτο τὸ πνεῦμα τίκτεται ἐκ πονηροῦ θησαυροῦ καρδίας [103] πονηροτάτου ἀνθρώπου. Ἐκ δὲ τοῦ ἀγαθοῦ ἀνθρώπου [104] πνέει εὐθὺς καὶ ἀγαθὸν καὶ εἰρήνης πνεῦμα, ὡς διδάσκει ἐν εὐαγ (168 r) γελίοις ὁ κύριος, « ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ τῆς καρδίας ἐκβάλλει τὰ ἀγαθά ». [105] Καὶ τοιοῦτοι τῶν θείων τῆς μεταλήψεως ἄξιοι ; Ἆρα

[99] Jo. 15, 14.

[100] = noi invece, essendo peccatori etc. ; si noti la sintassi dei participi !

[101] I Cor. 11, 28.

[102] II Cor. 7, 1.

[103] Mt. 15, 19.

[104] Ἐκ δ. τ. ἀἀνθρ. add. marg. eadem man.

[105] Luc. 6, 45.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI BIBLIOTECA Giuseppe Fortunato DEL MEZZOGIORNO D'ITALIA

ἀκούσαντες ἐγνωρίσατε; Προσέχετε, παρακαλοῦμεν, καὶ τῶν ἐξῆς ἀκούοντες ἕκαστος διὰ τοῦ συνειδότος ἑαυτοὺς ἀνακρίνωμεν, προσχῶμεν ἐν τῇ ἰδίᾳ ἑκάστου διανοίᾳ. «Δοκιμαζέτω δὲ ἕκαστος ὁ μακάριος Παῦλός φησι, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω»· [106] μηδεὶς ὀργῆς υἱός, μηδεὶς μάχης ἐργάτης, μηδεὶς φθονερὸς καὶ συκοφάντης τοῦ πέλας καὶ ἀδελφοῦ κατὰ τὸν Ἰούδαν ἐν τῷ χορῷ τῶν πιστῶν σήμερον εὑρεθήσεται. Ἰούδας ἦν καὶ φίλος Χριστοῦ, ἀλλὰ πάθει φιλαργυρίας καὶ πλεονεξίας παρέδωκεν τὸν πρᾶον καὶ ἥσυχον κύριον καὶ διδάσκαλον. Μηδεὶς τοιοῦτος ἐν τῇ ἡμετέρᾳ εὑρεθῇ ἐκκλησίᾳ, παρακαλῶ, μηδεὶς ὀργὴν φυλαττέτω, γινόμεθα ἀληθῆ τοῦ διδασκάλου τέκνα. «Ἐν τούτῳ γνώσονται πάντες, φησίν, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχετε ἐν ἀλλήλοις», [107] οὕτως ἀλλήλους φιλοῦντες καὶ ὁ τιοῦν ὀφειλήματα δι' ἔργων ἢ λόγων ἀλλήλοις ἀφιέντες καὶ χαρίζετε. Λάβωμεν καὶ γευσώμεθα τῶν θείων τοῦ Χριστοῦ μυστηρίων. Σκοπεῖτε ἀληθῶς· μηδεὶς δολίῳ φιλήματι τὸν ἀδελφὸν ἀσπάσοιτο, [108] ὡς ὁ Ἰούδας ἐφίλησε τὸν διδάσκαλον. Γενώμεθα εἰρήνης τέκνα καὶ σχῶμεν τὸν Χριστὸν κατοικοῦντα ἐν ταῖς καρδίαις ἡμῶν· [109] αὐτὸς ἡμῶν κοινὸς πατὴρ καὶ ἄμπελος καὶ ἀγρός, ἐκ σφῶν (168 v) ἡμῖν ἡ ψυχικὴ εὐφροσύνη καὶ σωματικὴ σωτηρία. Σκοπεῖτε, ἀδελφοί. μηδεὶς ζιζάνιον ἐκ τοῦ καλοῦ ἐκφυέτω ἀγροῦ καὶ δεσμευθεὶς τῷ πυρὶ ἐμβληθῇ· μηδεὶς ἄκαρπος ἐκ τῆς ἀμπέλου κλῆμα καὶ ἐκβληθεὶς εἰς τὸ πῦρ εἰσέλθῃ. [110] «Ἐμπορεύσασθε τὸν ἀγρόν», φησίν, «ἐγώ εἰμι ἄμπελος» [111] «ἐγὼ ἐμαυτὸν ὑπὲρ ὑμῶν τίθημι», [112] «ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς», [113] «λάβετε, φάγετε, γεύσασθε, πίετε» [114] «ὁ τρώγων μου τὸ σῶμα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ καὶ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ἐγὼ ἀναστήσω αὐτόν», [115]

[106] I Cor. 11, 38.
[107] Jo. 13, 35.
[108] Accenno al bacio pascale.
[109] Eph. 3, 17.
[110] Mt. 13, 40.
[111] Jo. 15, 1.
[112] Jo. 10, 11.
[113] Jo. 6, 35.
[114] Liturgia, parola della consacrazione.
[115] Jo. 6, 54.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

ὅτι «ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς καὶ ὁ ἐσθίων με οὐ μὴ πεινάσῃ εἰς τὸν αἰῶνα». [116] Δόξα τῇ ἀφράστῳ καὶ ἐνσάρκῳ οἰκονομίᾳ, τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου, Ἰησοῦ Χριστέ. Δόξα σοι ὁ οὐράνιος καὶ ἀθάνατος καὶ ζωοποιὸς ἄρτος, ὁ τρέφων καὶ ἐλεῶν ἡμᾶς ἐν τῷ παρόντι καὶ μέλλοντι, ὁ εὐλογημένος ἐλθὼν καὶ πάλιν ἐρχόμενος καὶ εἰς ἡμᾶς τοὺς ἁμαρτωλοὺς πρὸς σωτηρίαν εἰσοικιζόμενος, διὰ τὰς εὐδοκίας τοῦ ἐπουρανίου πατρὸς καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

IV.

Τοῦ αὐτοῦ λόγος εἰς κοιμηθέντας καὶ ὅτι οὐ δίκαιον ἐπὶ τοῖς νεκροῖς τὸ οὐαί, κατὰ τοὺς υἱοὺς Ἄγαρ, ἀλλ' εὐχαριστεῖν.

Μετὰ τοῦ προφήτου καὶ βασιλέως Δαυὶδ καὶ τοῦ θεοφάντορος Ἰωὴλ καὶ τοῦ κήρυκος καὶ διδασκάλου Παύλου ἥκω ὁ ταπεινὸς καὶ ἀνάξιος τὴν ἐλπίδα καὶ τὴν ἀνάστασιν ἐκ νεκρῶν Ἰησοῦν τὸν σωτῆρα Χριστὸν καὶ θεὸν ἡμῶν ποτνιούμενος φέρων, (169 r) ἢ τοὺς μὲν πενθοῦντας παραμυθήσοιτο, τὸν δὲ κοιμηθέντα χάριτι ἐλεήσοι, ὅτου χάριν, παρακαλῶ, παυθήτω ὁ τάραχος καὶ ὁ κλόνος καὶ ὁ θρῆνος καὶ τὸ οὐαὶ λαχυβαρεῖν, [117] εἰ ἡμέτερος ὁ κοιμηθείς ἐστιν. Σιγήτω τὸ οὐαὶ καὶ ὁ τῆς ἀταξίας κλαυθμός. Εἰ δὲ τῶν ὑπεναντίων, τουτέστιν οὐ τῆς ἡμετέρας ὑπάρχει πίστεως, κλαύσωσιν οἱ νεκροὶ τοὺς νεκροὺς μετὰ τὸ λαχυβάριον ὡς τοῦ Μωάμεθ φίλοι καὶ τῆς Ἄγαρ ἀπόγονοι, αὐτοὶ γάρ εἰσιν «οἱ λοιποί, ὥς πού φησιν, ἐλπίδα μὴ ἔχοντες ἀναστάσεως». προσχῶμεν ὅσοι πιστοί, Παύλου τοῦ διδασκάλου ἀκούσωμεν, «οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν, φησιν, ἀλλὰ γινώσκειν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε καθὼς καὶ οἱ λοιποί», [118] τουτέστιν οἱ ἐν ἀπιστίᾳ ὡς εἴπομεν ἀποθανόντες καὶ ἀποθνήσκοντες· οὗτοι πάντες θρήνου καὶ λαχυβαρίου καὶ ἄξιοι τοῦ οὐαί. Ἡμεῖς δὲ μετάστασιν καὶ ἄλλην βιοτὴν ἐννοούμενοι περὶ τῶν μεταξύ, εὐκόπως [119] οἰσόμεθα· εἰ γὰρ πιστεύομεν, οὐκ ἀπιστοῦμεν, ὅτι «Ἰ-

[116] Jo. 6, 35.

[117] Cfr. il verbo arabo LHV, *ingemisco*, e l'esclamazione *ja la hive*, misero me! il neogreco βαρυγκομῶ.

[118] I Thessal. 4, 13.

[119] εὐσκόπως Cod.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

ησοὺς φησιν, ἀπέθανε καὶ ἀνέστη» · [120] οὕτως ὁ πατὴρ ὁ οὐράνιος ἐγείρει σὺν Χριστῷ τοὺς πιστοὺς κοιμηθέντας σὺν τῷ κειμένῳ ἡμῶν ἀδελφῷ. Παυθήτω, παρακαλῶ, ὁ ἄτακτος τάραχος καὶ τὸ θρῆνος, τὸ δὲ οὐαὶ μηδὲ ὀνομαζέσθω, ὡς εἴπομεν, ἐν ἡμῖν τοῖς πιστοῖς · τὸ δὲ δακρῦσαι καὶ κλαῦσαι ἐπὶ τοῖς κεκοιμηθεῖσι ἡμέτερον καὶ ὠφέλιμον. Ἄξιον ἑαυτοὺς ὡς νεκροὺς πρὶν νεκρώσεως κλαῦσαι, λέγει γὰρ ὁ ἀπόστολος «λογίζεσθε ἑαυτοὺς εἶναι νεκροὺς μὲν τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Χριστῷ» · [121] οὕτως ἑαυτοὺς νεκροῦντες, αὐτοὺς τοῦ (169 v) θανάτου ἀπασχολῆσαι οὐκ ἄξιον, ὄντως ξένοι καὶ πάροικοι καὶ ἀληθῶς παρεπίδημοι καθὼς οἱ πατέρες ἡμῶν. Ἀκούσωμεν τοῦ Δαυὶδ παραινοῦντος καὶ ὑπὲρ τῶν νεκρῶν ἑαυτοὺς ταλανίσωμεν · «ἄνθρωπός, φησιν, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ», [122] καὶ τὰ ἑξῆς · χόρτος καὶ ἄνθος καὶ σκιὰ ὑπάρχομεν, τέκνα καὶ ἀδελφοί, ἀληθῶς ἀφρὸς καὶ τέφρα καὶ σκιὰ ὑπάρχομεν ἅπαντες. Μνησθῶμεν, τέκνα, τὴν ἀρχαίαν τοῦ ποιητοῦ καὶ δεσπότου φωνῆς μετὰ τὴν τῶν προγόνων παράβασιν, ὅτι «γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσει» · [123] καὶ ὅτι «χόρτος» ὁ ἄνθρωπος, ἄκουε «βλαστησάτω ἡ γῆ βοτάνην χόρτου». [124] Ἐκ τῆς γῆς ἀνατείλαντες καὶ πάλιν εἰς αὐτὴν ἐπιστρέφοντες, πάλιν τὴν ἀνάτολὴν σκόπει μοι. Μηδεὶς λεγέτω ὅτι οὐκ ἔστιν ἐν τοῖς τεθνεῶσιν ἀνάστασις, κατὰ τὴν πάλαι ἀγνωσίαν τῶν Κορινθίων · μάθωμεν τὴν πρὸς ἐκείνους καὶ πρὸς ἡμᾶς ἀπόκρισιν Παύλου · «εἰ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται · κενὴ λοιπὸν καὶ ἡ ἐλπὶς καὶ ἡ πίστις ἡμῶν» [125] καὶ «εἰ ἐν τῇ ζωῇ ταύτῃ» πολυφροντίστῳ καὶ λυπηρᾷ «ἠλπικότες μόνον ἐσμέν, ἐλεεινότεροι πάντων ἀνθρώπων ὑπάρχομεν · νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, τὴν ἀπαρχὴν τῶν κεκοιμημένων» [126] νοήσωμεν. Καὶ πάλιν, «ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται». Μάθωμεν καὶ

[120] I Thessal. 4, 14.
[121] Rom. 6, 11.
[122] Ps. 102, 15.
[123] Gen. 3, 19.
[124] Gen. 1, 11.
[125] I Cor. 15, 14.
[126] I Cor. 15, 19.
[127] I Cor. 15, 22.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

περὶ τῶν λεγόντων ὅτι ξηρὰ ὀστᾶ πῶς ἐγείρονται καὶ ὅτι κόνις καὶ τέφρα πῶς ψυχωθήσεται καὶ ὅτι ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν· ἄκουε τοῦ Ἰεζεκιήλ· « τάδε λέγει κύριος τοῖς ξηροῖς ὀστέοις· ἰδοὺ ἐγὼ φέρω ἐφ' ὑμᾶς νεῦρα καὶ σάρκας καὶ ἐκτενῶ (170 r) δέρμα καὶ δώσω ἐφ' ὑμᾶς τὸ πνεῦμα μου καὶ ζήσεσθε καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι κύριος ». [128] Καὶ ποιήσει ταύτην εἰς τὸ προκείμενον καὶ εἰς πάντας τοὺς κοιμηθέντας, ἔχοντες τὴν ἐλπίδα ὅτι ἐγείρονται, καὶ ἡμεῖς αὐτοὶ μετὰ θάνατον. Μηδεὶς μετὰ τῶν ἀπίστων τὸ ἑαυτοῦ μέρος τιθέτω, πρὸς αὐτοὺς τὸ οὐαὶ καὶ ὁ κλαυθμὸς καὶ ὀδυρμὸς ὁ ἀτελεύτητος ἄξιον· ἡμεῖς δὲ παρὰ τοῦ διδασκάλου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ περὶ κοιμήσεως καὶ διαφορᾶς ἀναστάσεως δικαίων καὶ ἀδίκων ἀκούοντες, μάθωμεν· « ἔρχεται ὥρα, φησίν, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς ». [129] Περὶ τούτου ἐρευνῶντες ἐπερωτᾶν ἡμᾶς ἄξιον, εἰ ἐν μετανοίᾳ καὶ ἐξομολογήσει καὶ ἐν ἀγαθῇ πολιτείᾳ τὸν βίον ὁ παρὼν ἀδελφὸς ἐτελείωσε καὶ οὕτως ἐκοιμήθη· καὶ ἀγγέλους συγχαίρειν ἡμῖν πιστεύομεν, ὅτι μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν τὴν ἀτελεύτητον· Περὶ τῶν τοιούτων καὶ ἡ τοῦ θεοῦ σοφία φησί, « δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται », [130] καὶ πάλιν « δικαίων ψυχαὶ ἐν χειρὶ θεοῦ καὶ οὐ μὴ ἅψεται αὐτῶν βάσανος· καὶ εἰ ἔδοξεν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἀφ' ἡμῶν πορεία σύντριμμα, αὐτοὶ δὲ ἐν εἰρήνῃ » [131] καὶ ἀγαλλιάσει εἰσί· καὶ πάλιν « δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ὁ μισθὸς αὐτῶν παρὰ κυρίου πολύς ». [132] Καὶ ὁ Δαυΐδ, « εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος » · [133] καὶ πάλιν ὁ αὐτός, « τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ ». [134] Τοιαύτης χαρᾶς καὶ δόξης ἠξιώθησαν οἱ ἀπ' αἰῶνος εὐαρεστήσαντες τῷ θεῷ καὶ οἱ ἐναρέτῳ βίῳ περαιωθέντες καὶ τελειούμενοι, « οἱ δὲ τὰ

[128] Ezech. 37, 5-6.
[129] Jo. 5, 28.
[130] Sap. 4, 7.
[131] Sap. 3, 1.
[132] Sap. 5, 16.
[133] Ps. 111, 7.
[134] Ps. 115, 15.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως »·[135] (170 v) τοιοῦτοι δακρύων καὶ οἰμωγῶν καὶ πολλοῦ πένθους ἄξιοι· « ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται », [136] ὁ προφήτης φησίν· καὶ ἄλλος, ἀμέτρητος ὑπάρχει τοῖς ἀσώτως βιοῦσιν ἡ κολασις, « βρυγμὸς ὀδόντων, φησίν, καὶ κλαυθμὸς » ἀπαραίτητος, τόπος ἀφεγγὴς καὶ « σκότος μετὰ τοῦ ἐνδοτέρου ἐξώτερον ». [137] Ἀπευχόμεθα καὶ οὐκ εὐχόμεθα ἡμετέρους εὑρεθῆναι τοιούτους. Μάθωμεν περὶ τῶν νεκρῶν καὶ αὐτοὺς πρὶν νεκρώσεως κλαύσωμεν· λέγει γὰρ ἐν εὐαγγελίοις, « ἄφετε τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς ». [138] Πενθήσωμεν ἑαυτοὺς οἱ τὸν βίον ἀδιόρθωτον ἔχοντες, οἱ ἐν ἀσελγίαις καὶ πονηραῖς ἐργασίαις διάγοντες· ἀμέτρητος καὶ ἀνείκαστος τοῖς ἀσώτως βιοῦσιν ἡ κόλασις. Κλαύσωμεν, τέκνα, τὸν ἡμῶν ἀδιόρθωτον βίον. Τὸν δὲ κοιμηθέντα προπέμποντες, τὸν τόπον ἡμῶν ἕκαστος εὐτρεπίσωμεν· ἐγειρόμεθα γὰρ ὡς προέφημεν. Πλὴν περὶ ἔργων ἀγαθῶν καὶ ἐναρέτου βίου ἔτι ζῶντες φροντίσωμεν ἕκαστος, δι' ἐλεημοσύνης καὶ οἰκτιρμοῖς πενήτων ὑπὲρ τοῦ κοιμηθέντος καὶ ἡμῶν αὐτῶν φροντίζοντες. Ταφῇ τὸν κοιμηθέντα πρὸς τοὺς πατέρας προπέμψωμεν εὐχόμενοι, περὶ δὲ τῆς ἐλπίδος ἡμῶν καὶ τοῦ παρόντος νεκροῦ ἀναστάσεως πάλιν τοῦ νέου Ἀδὰμ Ἰησοῦ τοῦ σωτῆρος ἀκούσωμεν· « ἐγώ εἰμι ζωὴ » καὶ τὸ φῶς τὸ ἀΐδιον, « ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται ». [139] Δόξα σοι, εἴπωμεν ὁμαδὸν τῷ δ' ἡμᾶς ἐνανθρωπήσαντι, δόξα σοι ἡ σωτηρία καὶ ἐλπὶς ἡμῶν καὶ ἀνάστασις, δόξα σοι τῇ ἀφράστῳ καὶ ἀφάτῳ σου ἀγαθότητι, φιλάνθρωπε κύριε Ἰησοῦ Χριστὲ δέσποτα, « τὸν μεταστάντα μετὰ δικαίων κατάταξον, ἔνθα ἀπέδρα (171 r) λύπη καὶ πᾶς στεναγμός » [140] Ἡμᾶς δὲ πάντας ἐν εἰρήνῃ διακυβέρνησον καὶ τέλους ἀγαθοῦ καὶ σωτηρίας ἀξίωσον, τριαδικῶς προσκυνοῦντάς σε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[135] Jo. 5, 29.
[136] Is. 66, 24.
[137] Luc. 13, 28.
[138] Mt. 8, 22.
[139] Jo. 11, 25.
[140] Orazione per i defunti: πᾶσα ὀδύνη λύπη καὶ στεναγμός.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

V.

Τοῦ αὐτοῦ Λουκᾶ ἔτι ἀσθενοῦντος παραίνεσις καὶ ὡς ἐν διαθήκῃ παράκλησις τὰ προτυπωθέντα φυλάττεσθαι καὶ οἱ τηροῦντες ἐκ πίστεως ἀμοιβὴν δι' εὐχῶν ἀπεκδέχεσθαι.

Εὐλογητὸς ὁ θεὸς ὁ προάναρχος σὺν τῷ συναϊδίῳ καὶ συνανάρχῳ υἱῷ καὶ τῷ ἀγαθῷ καὶ ἀχράντῳ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, τὴν παρ' ἐμοί, λέγω ἀχωρίστως προσκυνουμένην τριάδα, ἐν ᾗ βεβαίως πέπεισμαι καὶ τὴν μεγάλην ἀξίαν ὁ ἀνάξιος δέδομαι.[141] Ταύτην τῶν οὐρανίων καὶ ἐπιγείων ἀγγέλων τέ φημι καὶ ἀνθρώπων ἐνώπιον σέβομαι καὶ προσκυνῶ καὶ τὴν ἐμὴν οὐθενότητα μεγάλῃ τῇ φωνῇ ἐξομολογούμενος λέγω. Ἐν τοῖς ἐν κόσμῳ ἠβώθην ἐγὼ ἄκοσμος καὶ οἰκτρὸς καὶ ἀνάσυρτος, ἐν δὲ τοῖς μοναχοῖς ψεκτὴς καὶ ἐναγὴς καὶ ἀκάθαρτος, ἐν δὲ ἱερεῦσιν ἄγροικος καὶ ἀμελὴς καὶ ἀγέραστος, ὁμοίως ἐν τοῖς ἀρχιερεῦσιν αἰσχρὸς καὶ ὀκνηρὸς καὶ ἐν τοῖς ἀξίοις ποιμέσιν ἀνάξιος. Ταῦτα θεῷ καὶ ὑμῖν τοῖς ἱερεῦσι καὶ ἀδελφοῖς καὶ κυρίοις μου εἰπών, καὶ φαίην ὅτι ἀνάξιος ὑπάρχων καὶ εἰ μὴ εἰς τὸ ὕψος ταύτης μου τῆς διακονίας πολλὰ συγχωροῦντες συνεύξασθε, συναλγοῦντες μοι, τέκνα καὶ ἀδελφοί μου· ἰδοὺ γὰρ μῆνας τρεῖς ἀσθενοῦντος μου, οὐκ ἤλπιζον μεθ' ὑμῶν διαλέξασθαι, χάριτι δὲ τοῦ ἰατροῦ τῶν ψυχῶν καὶ τῶν σωμάτων (171 v) ἡμῶν, ὅτι ἀνέρρωσέν μου τὸ ἡγεμονικὸν καὶ ἠξιώθην ἐνδιαθήκως διὰ γραφῆς μου συνομιλῆσαι πᾶσιν ὑμῖν, τῶν ἀπόντων καὶ συμπαρόντων, τέκνων μου καὶ κυρίων, καὶ τὰ ἐσφαλμένα μοι δεῖξαι καὶ εὐχὴν καὶ συγχώρησιν ἐξ ἑκάστου λαβεῖν καὶ μεταδοῦναι πᾶσι, καθὼς ἐν εὐαγγελίοις διδάσκει ὁ κύριος «εὔξασθε καὶ συγχωρεῖτε ἀλλήλων τὰ σφάλματα, ὅπως ἰαθῆτε».[142] Πολλάκις ἠσθένησα διὰ τῶν ἐμῶν ἀμετρήτων πταισμάτων, καὶ διὰ τοῦ θεοῦ καὶ τῶν ὑμετέρων εὐχῶν ἀνερρώσθην πάλιν. Ἀνθεὶς[143] ὁ χόρτος πάλιν ξηραίνεται· χάρις τῇ χάριτι, ὅτι πάλιν ἀνακαινίζεται. Τεκμήρασθέ μου τὸν λόγον διὰ τὸ ξηραίνεσθαι καὶ πάλιν ἀνακαινίζεσθαι· δέδια καὶ συστέλλομαι, τέκνα, ὅτι πάντοτε ἀμνημόνησα τοῦ δεσπότου βοῶντος «στήκετε, γρηγορεῖτέ, φησιν, ὅτι

[141] sic! = mi fu dato.
[142] Jac. 5, 16.
[143] Cancell., ἀνθῆς χάριτος deinde scrips. ἀνθεὶς ὁ χόρτος.

ASSOC. NAZ. PER GLI INTERESSI MERIDIONALI
BIBLIOTECA Giustino Fortunato
CENTRO STUDI SUL MEZZOGIORNO D'ITALIA

οἵα ὥρα ὡς κλέπτης ὁ θάνατος ἔρχεται ». [144] Φεῦ μοι τῷ ταπεινῷ, ὅτι οὐδέποτε ἐγρηγόρησα εἰς τὰς τοῦ κυρίου μου ἐντολάς, τοῦ ἀκοῦσαι παρ' αὐτοῦ τῆς λεγούσης ἁγίας φωνῆς, « μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν εὑρήσει ὁ κύριος αὐτοῦ γρηγοροῦντα » [145] καὶ τὰ ἑξῆς· ἐμαυτὸν ἐγὼ τῷ κυρίῳ μου πονηρὸν καὶ ἀποκαλοῦμαι δοῦλον, οὐδέποτε γὰρ τὸ αὐτοῦ εἰς ὑμᾶς ἀργύριον τοῖς τραπεζίταις ὡς ἔδει ἐξήπλωσα· [146] διατί; ὅτι οὐ γραμματικὸς οὐδὲ ῥήτωρ οὔτε φιλόσοφος· πλὴν εἰ « τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ θεός », [147] ὡς διδάσκει διὰ Παύλου τὸ πνεῦμα τὸ ἅγιον, χάρις τῷ διδασκάλῳ Χριστῷ, ὅτι οὐ μόνον ἐνταῦθα, ἀλλ' εἰς (172 r) πᾶσαν τὴν περίχωρον τῆς μεγάλης Ῥηγινῶν μητροπόλεως, κύριος οἶδεν ὅτι καὶ διὰ γραφῶν καὶ αὐτοψεί, οὐ μόνον εἰς τὰς λαχούσας μοι τῆς διακονίας πόλεις, ἀλλὰ τοῖς ἐν Σικελίᾳ καὶ Καλαβρίᾳ κατὰ τὸ ἐμοὶ ἐφικτὸν μεγαλοφώνως ἐκήρυξα. Μνήσθητε, τέκνα τῆς ἐμῆς ἐπαρχίας, ὀνειδιστικῶς λέγω, ε'. καὶ μ'. ἔτη ἐν συνόδοις καὶ πανηγύρεσι ἠτόνησα καὶ ἡ λάρυγξ μου ἐβραχνίασεν, τὰ ἑλληνικὰ καὶ τὰ τῶν Ἀγαρηνῶν ἔθη ἐκ μέσου ποιῆσαι, οἷον τὸ ἐν τοῖς νεκροῖς οὐαὶ βλάσφημον, [148] ἐν τῇ ὁδῷ καὶ τοῖς τάφοις ἀθεμίτως θρηνεῖν [149] καὶ ἀντὶ τοῦ δεῖν ἐν ταῖς ἐκκλησίαις εὐαρεστεῖν, [150] τοῖς μνήμασι κηροποιεῖν [151] ἢ θυμιᾶν σερακοστὰ καὶ τριτοέννατα· καὶ ἐν γάμοις καὶ κλητηρίοις, [152] οὐαί, ἀντὶ ψαλμῳδίας βοᾶν τι τὸ μετὰ τυμπάνου καὶ αὐλῶν καὶ χορῶν ὁλονύκτους ἐν μέθαις ἀδολεσχεῖν· μὴ οὐχὶ καὶ τὰ πρόθυρα τῶν οἴκων καὶ τῶν ἐκκλησιῶν καὶ τῶν ἀμφόδων οὐκ ἐστέφοντο δάφναις; Πῶς εἴπω τὰ μετά; μαχαίρᾳ στέφεσθαι καὶ αὐτοῖς προθύροις [καρυκοϊστάναι] καὶ διάφορα κατὰ

[144] I Cor. 16, 13 e I Thessal. 5, 2.

[145] Cfr. Luc. 12, 37; ufficio del Nimfio, tropario Ἰδοὺ ὁ νυμφίος ἔρχεται.

[146] Mt. 25, 27.

[147] I Cor. 1, 27.

[148] cf. sopra: λαχυβαρεῖν.

[149] L'uso di piangere i morti perdura fino ad oggi.

[150] Cfr. sopra: καρποφορεῖν. fare dei doni alla chiesa in memoria dei morti; cfr. le ectenie dopo il vangelo.

[151] Accendere candele e incensare le tombe al 3, 9 e 40 giorno.

[152] Banchetti.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI
BIBLIOTECA
Giuseppe Fortunato
MEZZOGIORNO D'ITALIA

τοὺς Ἕλληνας ῥαίνεσθαι σπέρματα ; [153] τί καὶ τὸ σεῖσαι καὶ ἀλῆσαι καὶ μετὰ κροτάλων ἀρτοποιῆσαι καὶ [εὐχὴν] οἱονεὶ μετὰ τῆς μεγάλης κουλλήρου [154] [καὶ τὸ τὰ κριθάρια] διὰ σίκερου φυρᾶν τε καὶ ἐπαινεῖν θυράτικά τε καὶ φλασκοκρύκελλα, [155] ὅθεν καὶ φόνοι ; Ἀλήθειαν γὰρ ἐρῶ· ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ὁ κύριος ἔφορος · τί καὶ τὸ ἕως χρόνον τοὺς νεογάμους τῇ ἐκκλησίᾳ μὴ ἔρχεσθαι ; [156] ὁμοίως τὰς ἐν χηρείᾳ βλασφημεῖν, ὅτι τοῦ ἀνδρὸς καὶ (172 v) τῆς θυγατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἀδελφοῦ χωρισθείς, εἰς ἐκκλησίαν οὐκ ἔρχομαι ; [157] Μὴ οὐκ ἦν ἀσέβημα τοῦτο καὶ τῶν κακῶν ἁπάντων κακίστερον ; Χάρις μετὰ πάντων τοῖς οἰκέτορσι τοῖς φρουρίοις, λέγω δὴ μεγιστάνοις ἄμφω καὶ ἀγαθητάῖς καὶ σὺν τοῖς Νικοτέρων, Νικήτα τοῦ μάρτυρος καὶ ὁμαδὸν Καλαβροῖς · καὶ ὑπὲρ τῶνδε πάντων ἐπαινῶ, μεγαλύνω τὴν ὑπὸ πασῶν τῶν πόλεων καὶ πολιτῶν, Γρήκων τε φημὶ καὶ Λατίνων, ἐνδίκως φημιζομένην καὶ ἀψευδῶς ἐν ἀγαθοῖς ᾀδομένην καὶ δι' ἔργων βεβαιωμένην Ῥηγινῶν τὴν ὑπερτάτην καὶ λαμπρὰν μητέρα τῶν πόλεων · χάρις ἐκ θεοῦ τῇ μητρὶ σὺν τοῖς τέκνοις, ἱερέων τε φημὶ, μοναχῶν, προυχόντων καὶ παντὶ τῷ λαῷ, ὅτι διὰ τῆς εὐχῆς τῶν [πατέρων] Ῥάῳ τε φημὶ καὶ Ῥωκέρῃ [158] καὶ πρὸ τούτων τῆς θεόθεν χάριτος, ὅτι τὸν Σαῦλον ὡς εἰμὶ ὡς ἄλλον Παῦλον ἐδέξαντο ἐν ἔργῳ καὶ ῥήματι. Χάρις ὑμῖν ἐκ τοῦ λέγοντος πάλιν, ἀδελφοί μου καὶ φίλοι, «ὁ δεξάμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου, εἰ καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ νῦν λέγων, μισθὸν δικαίου λήψεται ». [159] Ταυῦν τὸν μισθὸν δωρήσεται κύριος ὁ θεὸς τοῖς δεξαμένοις καὶ τηροῦσι τὸν λόγον τῆς διδασκαλίας αὐτοῦ, ὃν ἐποιησάμεθα ἐν ἑκάστῃ πόλει

[153] Cfr. l'uso odierno di gettare grani di frumento o di riso davanti all'ingresso della sposa in segno di fecondità.

[154] = κουλοῦρα.

[155] φυρᾶν : preparare birra e bere cantando (ἐπαινεῖν) ; cfr. Canone 62 del Concilio in Trullo.

[156] Secondo l'uso odierno la sposa sola rimane per un anno quasi rinchiusa nella casa.

[157] L'uso si osserva anche oggi.

[158] V. Introduzione.

[159] Mt. 10, 41.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA BIBLIOTECA Giustino Fortunato

καὶ κώμῃ, ἐν συνόδοις καὶ ἐν λιτανείαις, οὐ μὴν καὶ ἐν τοῖς ἐγκαιρίοις τῶν ἁγίων ἐκκλησιῶν· ἔδειξα εἰς πρόσωπον τὰ συμφέροντα κατὰ τὸ ῥητὸν τοῦ ἁγίου εὐαγγελίου «εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον». [160] Νῦν δὲ μνησθεὶς τῶν ἁπάντων κακῶν (173 r) τὸ κακίστερον σκοπῆσαι οὐ δίκαιον; Ἢ οὐ δίκαιον συντρέχειν κλέπταις καὶ μετὰ μοιχοῖς καὶ πόρνοις τὴν μερίδα τίθεσθαι; Τί περὶ τὰς ἐν τῷ φόρῳ βρωμώδεις κύνας διαλεξάμεθα; μὴ οὐκ ἐκοίνωσαν πρὸς ἑαυτὰς γονεῖς καὶ τέκνα ἢ ἐξαδέλφους καὶ ἀδελφούς, [161] τὰς πολιτικὰς λέγω, τὴν ψυχοβλαβῆ καὶ θεομίσητον καὶ βδελυρὰν καὶ παράνομον πολιτείαν, τὰ σκοτεινὰ καὶ ὁλόνυκτα φρέατα, τὰ ὀζόμενα καὶ θανάσιμα ὕδατα, τὴν ὕλην τῆς κακίας καὶ ἐπιζήμιον πραγματείαν; Ἔκαμον ὑπομνήσκων καὶ ἐλέγχων καὶ ἐπιτιμῶν καὶ παρακαλῶν. Καὶ οὐ μόνος, ἀλλὰ σὺν τοῖς κλεινοῖς Ἰωάννῃ πρωτόπαπᾳ καὶ Νικήτᾳ τοῦ σοφωτάτου ἀρχιδιακόνου καὶ ἐν καθηγηταῖς διδασκάλῳ; [162] Πρὸς τούτοις καὶ ἅμα τοῖς πρεσβυτέροις, ταύτην τὴν ἐπιζήμιον πραγματείαν εἰ δυνατὸν ἀποπαυθῆναι παρήνεσα ἐκ ταύτης τῆς πόλεως καὶ ἀμφοτέρωθεν [παντὶ τρόπῳ] ἀρθῆναι τὴν κακὴν πολιτείαν, βοῶν τὸ «καυχᾶσθε οὔτε πόρναι, οὔτε μοιχοί», [163] καὶ τὰ ἑξῆς· καὶ πάλιν, «μὴ ποιεῖτε τὰ μέλη τοῦ Χριστοῦ πόρνης [164] μέλη». Μὴ καὶ τὴν ἀπολυτικὴν μετὰ διδασκαλίας τοῦ Παύλου ἀρὰν οὐκ ἐπέδειξα, «οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστέ, φησι, καὶ τὸ πνεῦμα τοῦ θεοῦ ἐστιν ἐν ὑμῖν»; καὶ «ὁ φθείρων τὸν ναὸν τοῦτον, φθερεῖ τοῦτον ὁ θεός» [165] Μὴ ταῦτα ὑμῖν, πολιτικαῖς, οὐκ ἐπέδειξα; μὴ καὶ δῶρα ἐν τῇ ὑποσχέσει τῆς μετανοίας οὐκ ἔδωκα; Ἐν μετανοίᾳ πολιτευθῆναι, τῷ σωτῆρι δι' ἐμοῦ συνταγῆναι Χριστῷ, τῶν ἱερέων ἐνώπιον πάλιν τὴν πο(173 v)λιτείαν καὶ πραγματείαν τοῦ διαβόλου ἐπανακάμψασαι. Ἐγὼ εἶπα καὶ λέγω· οὐαὶ τοῖς μετὰ τὴν ἐξομολόγησιν εἰς τὴν τοιαύτην πραγματείαν ἐπισκοποῦσιν· οὐαὶ τὰς πωλούσας, ναί, καὶ θρῆνος τοῖς ἀγοράζουσι· συμβουλεύσασθε, ἄρ-

[160] Jo. 15, 22.
[161] ἀδελφάς Cod.
[162] V. Introduzione.
[163] Hebr. 13, 4.
[164] I Cor. 6, 15.
[165] I Cor. 3, 16.

ASSOC. NAZ. PER GLI INTERESSI
BIBLIOTECA
Giustino Fortunato
DEL MEZZOGIORNO D'ITALIA

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA BIBLIOTECA Giustino Fortunato

χοντες, σκοπήσατε, ἱερεῖς, τὴν ἐπιζήμιον καὶ ψυχοβλαβῆ πολιτείαν ἐκ ταύτης τῆς πόλεως ἀνακαλεσθῆναι. Λέγετε σὺν ἐμοί, ὅσοι δοῦλοι Χριστοῦ· οὐαὶ τοῖς ἀπὸ τοῦ νῦν κοινωνοῦσιν αὐταῖς,[166] οὐαὶ τοῖς ἐν γνώσει, λέγω δὴ τοῖς δίδωσι τὰ ἅγια τοῖς κυσὶ καὶ τοὺς μαργαρίτας τοῖς χοίροις.[167] Συγχωρήσατέ μου, ἀδελφοί μου καὶ τέκνα, ἐγὼ ὃ ἦν[168] ἐν ἐμοὶ ἐκ θεοῦ πρὸς ὑμᾶς χρεωστούμενον ἔδειξα ὑμῖν, ὡς προέφην, καὶ λέγω τὰ εἰκότα περὶ ψυχῆς σωτηρίας, περὶ ἀποπαύσεως τῶν πρώην θεομισήτων ἠθῶν,[169] ἃ καὶ ἐπαύσατε θεοῦ χάριτι, καὶ τοῦ τιμᾶσθαι τὰς ἑορτὰς καὶ τὴν τοῦ σωτῆρος ἀνάστασιν καὶ τοῦ εἶναι [ἀπὸ τὴν δευ]τέραν τὸν φόρον[170] καὶ τοῦ παυθῆναι τὰ παίγνια ἐν ταῖς ἀποκρέου καὶ πάσχα ἡμέραις [καὶ] ταῖς λοιπαῖς ἑορταῖς,[171] ὅθεν τυφλοὶ καὶ παράλυτοι καὶ φόνοι γεγόνασι· καὶ τοῦ ἀγαπᾶν πάντας εὐλογίαν καὶ ἀποδρᾶν πάντας τὴν τοῦ ἁγίου πνεύματος διὰ τοῦ προφήτου κατάραν· «οὐαί, φησι, οἱ μετὰ αὐλῶν καὶ χορῶν καὶ τυμπάνων καὶ ὀρχήσεων καὶ κροτάλων τὸν οἶνον πίνοντες».[172] Χάρις διὰ τοῦ Χριστοῦ τῷ διδασκάλῳ Παύλῳ, ὅτι ἡ τοιαύτη πολιτεία ἐν χριστιανοῖς σήμερον οὐχ ὑπάρχει· «μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία».[173] (174 r) Πρὸς τὰ παιδία τῆς Ἄγαρ ἡ τοιαύτη κατάρα· ἡμεῖς δὲ ὡς παρελάβομεν ἕκαστος, ἀπὸ τοῦ νῦν τὰς ἐντολὰς τοῦ κυρίου φυλάξωμεν, τὴν ἐξομολόγησιν ἐτησίως ἐν ἀρχῇ τῶν νηστειῶν,[174] ὡς παρεδώκαμεν ἐγγράφως τε καὶ ἀγράφως ἀπὸ τῶν παρ' ἡμῖν δι' εὐχῆς μετὰ θεὸν ὡς ἐδείξαμεν τυπωθέντων, οἱ τηροῦντες εὐλογημένοι. Καὶ εἰ ὁ Χριστὸς καὶ θεὸς ἡμῶν διὰ τῶν αὐτοῦ μαθητῶν καὶ ἀποστόλων εἰς πᾶσαν τὴν γῆν καὶ ἐπὶ πᾶσαν πόλιν καὶ χώραν τὰ αὐτοῦ παρέδωκεν ἐντάλματά τε καὶ εὐαγγέλια,[175] καὶ διὰ τῶν καθ' ἑξῆς αὐτοῦ ἀρχιερέων τε καί ποιμένων κατὰ γενεὰν εἰς ἡμᾶς καὶ ἡμεῖς

[166] οὐαὶ τ. ἀ. τ. ν. κοινων. αὐταῖς in marg. alia manus.
[167] Mt. 7, 6.
[168] ὀκνόν Cod.
[169] ἐθνῶν Cod.
[170] = festa popolare.
[171] Cfr. Canone 67 del Concilio in Trullo.
[172] Is. 5, 12; cfr. Canone 22 del Conc. II Nic.
[173] Ephes. 5, 18.
[174] Cfr. 1° Discorso.
[175] Mt. 28, 19.

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA BIBLIOTECA Giustino Fortunato

ὑμῖν τοῖς τέκνοις καὶ ἀδελφοῖς μου, τοῖς ἱερεῦσι καὶ δούλοις κυρίου, ὡς παρελάβομεν, ἐντελλόμεθα· «εἰ ἀγαπᾶτε με ὡς διδάσκει ὁ κύριος, τὰς ἐντολάς μου φυλάξατε», [176] μᾶλλον δὲ τοῦ διδασκάλου Χριστοῦ, αὐτοῦ καὶ τὸ εἰς ἀλλήλους ἐξομολογεῖσθαι διδάσκοντος. [177] Ἀλλοῖ μου [178] καὶ ἁμαρτωλὸς ὡς εἰμί, ὅσον τὸ ἱερατεῖον [μεγιστάνων τε καὶ ἁγα]θητῶν [179] καὶ σὺν θατέροις τοῦ Ῥηγίου, ἔτεσι πλείστοις τὴν ἐξάγγελσιν παρ' ἐμοί, μᾶλλον δὲ πρὸς θεοῦ ἐποιήσατε καὶ ἡμεῖς πρὸς ὑμᾶς· οἶδεν γὰρ ὁ τῶν καρδιῶν γνώστης ἃ εἰς ἀλλήλους ἐδείξομεν καὶ ἃ ἡμεῖς ὑμῖν παρεδώκαμεν ἐπαγγέλλοντες ἐν τῇ ἐξομολογήσει καὶ ἐν τῷ λαβεῖν τὴν ἱερωσύνην, ἕκαστος τὴν ἰδίαν πληροφορῆσαι διακονίαν ὡς διδάσκει ὁ θεῖος Παῦλος· [180] «σπουδάσατε, φησίν, βεβαιοῦν ὑμῶν τὴν κλῆσιν» [181] καὶ τὴν ἐκλογὴν τῆς ἱερωσύνης ποιῆσαι, ὡς ἅλας καὶ ὁδὸς καὶ φῶτα τοὺς βρωμώδεις ἐν ἁμαρτίαις διὰ τῶν καλῶν ὑμῶν ἔργων τῆς διδασκαλίας φωτίσαντες, ἵνα ὁ καθεὶς μετὰ Παύλου τῷ ἰδίῳ λέγῃ (174 v) λαῷ, «μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ»· [182] οὕτως γὰρ ποιοῦντες, πλουσίαν τὴν ἀνταπόδοσιν παρὰ τοῦ διδασκάλου Χριστοῦ ἀνταμείψεσθε· ὅτου γὰρ χάριν οὐκ ἀμελήσω ἀεὶ ὑπομιμνήσκων ὑμᾶς περὶ τοῦ ἐμοῦ καὶ ἀμέτρου χρέους, οἶδα γὰρ ὅτι σπουδαῖοι καὶ ἐστηριγμένοι πρὸς τὰς τοῦ διδασκάλου ὑπάρχετε ἐντολάς, ἀλλὰ «δίκαιον ἡγοῦμαι, κατὰ τὸν θεῖον ἀπόστολον, ἐφ' ὅσον εἰμὶ ἐν τῷ βεβήλῳ καὶ ἀσθενεῖ μου σκηνώματι, διεγείρειν ὑμᾶς τῇ ὑπομνήσει, εἰδὼς ὅτι ὀφειλέτης ὑμῖν εἰμι καὶ οὐ μικρὸν ἀπόθεσις τοῦ ἐμοῦ ὑπάρχει σκηνώματος» [183]. Σπουδάζω δὲ διὰ τῆς παρακλητικῆς τοῦ σωτῆρος διδασκαλίας καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον τὴν τούτων μνείαν ποιεῖσθαι, ἵνα εὖ ἡμῖν θεόθεν ἀμφοτέροις γενήσεται· ἐγὼ γὰρ ὃ ἦν ἐν ἐμοί, ὥς τε εἰμί, συγχώρησιν καὶ εὐχὴν ἐξ ἑκάστου ἑλόμενος· Καὶ λοιπὸν σῴ-

[176] Jo. 14, 15.
[177] Jac. 5, 16.
[178] Ἰ ἡμου Cod.; cfr. in neog.; ἀλλοίμονό μου.
[179] Indecifrabile; cfr. 172 v.
[180] ἄουλος Cod. (= παῦλος), il testo non è di S. Paolo!
[181] II Petr. 1, 10.
[182] I Cor. 11, 1.
[183] II Petr. 1, 14.

ASSOC. NAZ. PER GLI INTERESSI
BIBLIOTECA
Giustino Fortunato
DEL MEZZOGIORNO D'ITALIA

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA BIBLIOTECA Giustino Fortunato

ζεσθε, ἀδελφοὶ καὶ πατέρες καὶ τέκνα· σῴζου τὸ τάγμα τῶν ἱερέων ὑπὲρ ἐμοῦ εὐχόμενοι[184], ὡσαύτως τῶν μοναζόντων καὶ κοσμικῶν καὶ ἰδίων καὶ γνωστῶν καὶ φίλων. Συνοδεύσατέ μοι δι' εὐχῆς τῶν ποτε γνώριμοί μου· πολλάκις γὰρ ἐν ἐκκλησίαις καὶ ἐν συνόδοις καὶ πανηγύρεσι μεθ' ὑμῶν ἐλάλουν καὶ τοῦ χωρισμοῦ τὴν ἡμέραν ὑπέμνησκον· ἀποδημίαν ἀνεπίστροφον στέλλομαι, ἣν πάντες οἱ πατέρες προώδευσαν, οὐκ οἶδά τε ὁ ταπεινός, οἷον ἀπαντήσει με κρῖμα, ἢ ποῖος ὑποδέξεται τόπος· ἔργον γὰρ ἀγαθὸν οὐδὲ ἓν θεοῦ ἐνώπιον εἰργασάμην, ὑπεύθυνον πάσης (175 r) ἁμαρτίας ἑαυτὸν ἐνώπιον ἀγγέλων τε καὶ ἀνθρώπων ὁμολογῶ. Πλὴν χαιρόμενος ἀπεκδέχομαι τὸ ἐν εὐαγγελίοις τοῦ κυρίου ῥητόν, « ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται »[185] καὶ ὅτι « μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν »[186] καὶ ἀπὸ σκότους εἰς φῶς καὶ ἀπὸ δουλείας εἰς ἐλευθερίαν καὶ ἀπὸ παροικίας εἰς ἀληθινὴν κατοικίαν. Ἀλλὰ τούτων ἐγὼ ἀνάξιον ἑαυτὸν πρὸς τὸν ἐπουράνιον ὁμολογῶ πατέρα· ὅτι οὐδέποτέ [τι τὸ τεράστιον] ἐποίησα, οὐδὲ ἐντολὴν ὡς οἰκέτης ἐφύλαξα. Ταῦτα ὑμῖν τοῖς συνδούλοις καὶ ἀδελφοῖς μου, τοῖς ἱερεῦσι, λέγω καὶ τοῖς τὰς ἐξομολογήσεις μετὰ πίστεως παρ' ἐμοῦ δεξαμένοις καὶ ἔτι ἐμὴν διὰ τῆς γραφῆς δεχομένοις. Καὶ εἰ τοῦτο οἴδατε καὶ τὰς παραδόσεις τηρήσητε, ἰδοὺ λόγον δίδωμι τῆς ἀληθείας ἐνώπιον, ὅτι ὡσανεὶ ὥς τε ᾧ καὶ πιστεύω εἰς τὴν αὐτοῦ εὐδοκίαν, οὐ σιγήσω, τολμηρῶς δὲ εἴπω τῷ εἰδότι κατὰ τὸ εἰωθός μοι, τοὺς ἁπάντων, λέγω δὴ τῶν τηρούντων, ἵνα ἐπιτηρῆσθε καὶ ἐγὼ ἄν τις παρ' ἐμοὶ ἐν πόλει τε καὶ κώμῃ ὅσον[187] τοῦ ἀμπλακήματός ἐστι τηρήσει ἔχον, καὶ εἰ δύναται τῷ πιστεύοντι λύσιν τῷ κοπιῶντι ἕως[188] ἐμοῦ, λέγω δὴ ἀσθενοῦντι « ἡ ἁγία παράσχοι τριάς· » εἰ δὲ τὸν νοῦν τῷ Χριστῷ ἐπιστρέψαντα ἤδη τὸ σέσωκέν σε μετὰ τὸ σέβας ἡ πίστις σου, τὸ ἀθάνατον δέομαι ἀνταμείψεται πνεῦμα εἰς δόξαν καὶ εὐχαριστίαν τοῦ προανάρχου πατρὸς καὶ τοῦ ὁμουσίου καὶ συναϊδίου αὐτοῦ υἱοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ

[184] εὐχοιώμενοι Cod.
[185] Jo. 11, 25.
[186] Jo. 5, 24.
[187] ὅλον Cod.
[188] ἔπος Cod.

ASSOC. NAZ. PER GLI INTERESSI
BIBLIOTECA
Giustino Fortunato
DEL MEZZOGIORNO D'ITALIA

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giuseppe Fortunato

μεγάλου ἀρχιερέως. Αὐτός μοι προγνώστης καὶ πατὴρ καὶ ποιητὴς καὶ διδάσκαλος, αὐτός μου προβολεὺς καὶ σωτήρ, πάπκς τε καὶ πατριάρχης, αὐτὸς τοῦ ἁμκρτάναι ἐκτὸς τὰ πάντκ μοι ἐσχήσατο, νουθετεῖν τε καὶ παρακαλεῖν, ἐλέγχειν τε καὶ (175 v) διδάσκειν, δεσμεῖν τε καὶ λύειν καὶ εὐλογεῖν. Αὐτὸς ὁ διὰ τοῦ προφήτου εὐλογητὸς θεός, ὁ ἐλθὼν κηρυττόμενος καὶ πάλιν καὶ εἰς ἀξίους εὐλογημένος ὁ ἐρχόμενος. Αὐτὸς εὐλογῶν εὐλογησάτω τούς... [189]

[189] Desinit imperfecta in pagina non scripta; sequitur fol. 176r: Euseb. Alexandr. homelia De jejunio (= P. G. 86, 313).

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

ASSOC. NAZ. PER GLI INTERESSI
BIBLIOTECA
Giustino Fortunato
DEL MEZZOGIORNO D'ITALIA

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

NORME PER I COLLABORATORI

La rivista accoglie scritti, di riconosciuto carattere scientifico, riguardanti la storia politico-economica ed artistica della Calabria e della Basilicata e delle terre facenti parte della Lucania augustea, dall'età classica all'attuale.

Gli scritti dovranno pervenire in copia dattilografata e nella forma definitiva, muniti di tutto l'apparato di note, possibilmente già a pie' di pagina.

Le bozze dei lavori accolti per la pubblicazione saranno inviate agli Autori per la correzione. Le seconde bozze saranno di regola corrette in redazione, salvo esplicita richiesta degli Autori.

Ai collaboratori saranno date in omaggio 15 copie di estratti (con copertina) di ciascun scritto che non superi il sedicesimo. Per gli estratti in più e per quelli di scritti più ampi gli Autori sono pregati di prendere accordi diretti con la Tipografia.

Per le illustrazioni da fotografie si prenderanno volta per volta accordi circa le relative spese.

I dss. non pubblicati vengono restituiti a richiesta. Non si restituiscono i dss. dei lavori pubblicati.

DOTT. LEONARDO DONATO, *Vice Direttore responsabile*

Autorizzazione del Tribunale di Roma N° 3158 in data 23 - 3 - 53

ARTI GRAFICHE ALDO CHICCA - TIVOLI

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA
Giustino Fortunato

COLLEZIONE MERIDIONALE
DIRETTA DA UMBERTO ZANOTTI BIANCO

N. B. - Si indicano con NI le opere acquistabili soltanto presso la Casa Ed. La Nuova Italia (Firenze).

QUADERNI MERIDIONALI

GENOVESE F., *La Malaria in provincia di Reggio Calabria* (NI) . . . L. 300
ZANOTTI BIANCO U., *Il Martirio della Scuola in Calabria*, pag. 156 con 35 ill. f. t., II ed. (NI) . . . . . » 400
ZANOTTI BIANCO U., *La Basilicata*, pag. XI-416 con 29 tav. (NI) . . . » 900
RIVERA V., *Oro di Puglia*, pag. 270 con illustr. f. t. . . . . » 400
NUNZIANTE F., *La Bonifica di Rosarno*, pag. 96 con 22 tav. f. t. . . esaurito
GALLI E., *Cosenza seicentesca nella cronaca del Frugali*, pag. 120 con 52 illustr. f. t. . . . . L. 300

COLLEZIONE DI STUDI MERIDIONALI

FRANCHETTI L. - SONNINO S., *La Sicilia*: Vol. I, *Condizioni Politiche e Amministrative*, pag. LXIII-352 . . . . . L. 1.000
Vol. II. *Contadini in Sicilia*, pag. 368 . . . . . » 900
FORTUNATO G., *Il Mezzogiorno e lo Stato italiano*, vol. II . . . . » 1.200
FORTUNATO G., *Pagine e Ricordi Parlamentari*, 2 voll. di pag. 440 e 326, ogni volume . . . . . » 1.000
FORTUNATO G., *Strade Ferrate dell'Ofanto*, pag. 331 . . . . . » 700
FORTUNATO G., *In memoria di mio fratello Ernesto*, pag. 270 . . . » 700
GALATI V. G., *Gli scrittori delle Calabrie* (Vol. I) . . . . . » 800
CARANO DONVITO G., *L'economia meridionale prima e dopo il Risorgimento* » 1.400
FORTUNATO G., *Scritti vari*, pag. 232 . . . . . » 700
DE VITI DE MARCO A., *Un trentennio di lotte politiche*, pag. 482 . . . » 1.200
ANITCHKOF, *Joachim de Flore et son influence dans les milieux courtois*, pag. XXIV-464 . . . . . » 1.200
BONAIUTI E., *Gioacchino da Fiore*, pag. XVI-260 . . . . . » 750
CIASCA R., *Bibliografia Sarda*, vol. 5, pag. LXIV-528, 572, 586, 556, 328 con appendici ed indici . . . . . ogni volume » 1.000
ROHLFS G., *Scavi linguistici della Magna Grecia* . . . . . esaurito
CRISPO G. F., *Contributo alla storia della più antica civiltà della Magna Grecia* . . . . . esaurito
MONTI G. M., *La difesa di Venezia nel 1848-49 e G. Manin* . . . . L. 800
CAPIALBI V., *Memorie delle tipografie calabresi* (NI) . . . . . » 700
FRANCHETTI L., *Mezzogiorno e Colonie*, pag. 502 . . . . . » 1.800
FORTUNATO G., *Pagine Storiche*, pag. 206 . . . . . » 1.000
CARANO DONVITO G., *Economisti di Puglia*, pag. 460 . . . . . » 3.000
D'ARRIGO AGATINO, *Natura e Tecnica nel Mezzogiorno*, pag. 700 . . » 4.000

IL MEZZOGIORNO ARTISTICO

LEVI A., *Le terrecotte figurate del Museo di Napoli*, vol. di pag. 218 ill. e tav. XVI . . . . . L. 3.000
BRENSON T., *Visioni di Calabria* (esaurito); FERRI S., *Divinità ignote* (esaurito); MARCONI P., *Agrigento* (esaurito); ORSI P., *Le chiese basiliane di Calabria* (esaurito); MARCONI P., *Himera* (esaurito).
MARCONI P., *Agrigento arcaica*, pag. 152 con 82 ill. e 21 tav. f. t. . . L. 3.000
ORSI P., *Templum Apollinis Alaei ad Crimisa Promontorium*, pag. 190 con 110 illustr. . . . . » 3.500
RELLINI U., *La più antica ceramica dipinta in Italia*, pag. 140 con 65 ill. » 3.000
AGNELLO G., *L'Architettura sveva in Sicilia*, pag. 496 con 325 illustr. . » 4.500
MEDEA A., *Gli affreschi delle cripte eremitiche pugliesi*, vol. di 272 pagine ed albo a parte con 165 illustraz. . . . . » 5.000
MONNERET DE VILLARD U., *Monumenti dell'Arte Musulmana in Italia*: vol. I, *La cassetta incrostata della Palatina di Palermo*, pag. 28 con 37 tavole . . . . . » 2.500
TARDO L., *L'antica melurgia bizantina nell'interpretazione della Scuola monastica di Grottaferrata* . . . . . » 8.000
AGNELLO G., *L'Architettura aragonese-catalana in Siracusa*, pag. X-72 con 72 illustrazioni . . . . . » 3.000
ORSI P., *Sicilia Bizantina*, pag. XVI-252 con 112 illustr. e 18 tav. t. f. » 4.000
AGNELLO G., *Architettura Bizantina in Sicilia*, pag. 340 . . . . . » 6.000
TARDO L., *L'Ottoeco nei manoscritti Melurgici* . . . . . L. 6.000
AGNELLO G. - *I Vermexio, architetti ispano-siculi del sec. XVIII*, pag. 220 e 90 illustr. f. t. . . . . » 10.000
Atti e Memorie della Società Magna Grecia, Nuova serie, vol. I (1954) . » 3.000
Atti e Memorie della Società Magna Grecia, Nuova serie, vol. II (1958) . » 5.000
RICILLO M. - FORTUNATO G., *Dietro la Guerra*, parte 2ª, pp. 200 . . . L. 800
Atti del I Congresso Storico Calabrese (vol. di pag. 575, con 61 illustrazioni) franco di porto . . . . . L. 3.000 *Estero* » 3.500

ASSOC. NAZ. PER GLI INTERESSI DEL MEZZOGIORNO D'ITALIA
BIBLIOTECA Giustino Fortunato

BANCO DI NAPOLI

Istituto di credito di diritto pubblico

Fondato nel 1539

Capitale e riserve: L. 3.521.495.280 - Fondi di garanzia: L. 20.398.244.300

◆

OLTRE 400 FILIALI IN ITALIA

◆

Filiali in:

ASMARA - BUENOS AIRES - CHISIMAIO
MOGADISCIO - NEW YORK - TRIPOLI

◆

Uffici di rappresentanza a:

NEW YORK - LONDRA - ZURIGO
PARIGI - BRUXELLES - FRANCOFORTE s/M
SAN PAOLO DEL BRASILE

◆

Tutte le operazioni
ed i servizi di Banca